Constantinus cum liberis suis honorificas ad Antonium litteras dirigit. R. MLXXX.	277	329	19	*Subrogatus Severus archiepiscopus rothomagensis IIII.*

b Crispus Constantini filius, et Licinius iunior Constantiae Constantini sororis et Licinii filius crudelissime interficiuntur anno imperii suo nono.

	330	20	

c Vicennalia Constantini Nicomediae acta, et sequenti anno Romae edita.

HUC USQUE HISTORIAM SCRIBIT EUSEBIUS PAMPHILI MARTYRIS CONTUBERNALIS.

CUI NOS ISTA SUBIECIMUS.

	331	21	

Arnobius rhetor in Africa clarus habetur: qui cum in civitate Siccae ad declamandum iuvenes erudiret, et adhuc ethnicus ad credulitatem somniis impelleretur, neque ab episcopo impetraret fidem, quam semper impugnaverat, elucubravit adversus pristinam religionem luculentissimos libros: et tandem velut quibusdam obsidibus pietatis foedus impetravit.

Drepanam Bithyniae civitatem in honorem martyris Luciani ibi conditi Constantinus instaurans, ex vocabulo matris suae Helenopolim nuncupavit.

In Antiochia Dominicum, quod vocatur aureum, aedificari coeptum.		332	22	Constantinus uxorem suam Faustam interfecit.

Donatus agnoscitur a quo per Africam Donatiani.

Antiochiae post Tyrannum vicesimus ordinatur episcopus Vitalis. Post quem vicesimus primus Philogonos. Cui successit vicesimus secundus Paulinus. Post quem vicesimus tertius Eustachius. Quo in exilium ob fidem truso, usque in praesentem diem, Arriani ecclesiam occupaverunt, id est Eulalius, Eusebius, Euphronius, Placillus, Stephanus, Leontius, Eudoxius, Meletius, Euzoius, Dorotheus, rursum Meletius. Quorum iccirco tempora non digessi, quod eos hostes potius Christi, quam episcopos, iudicem.

	278	333	23	Porphyrius misso ad Constantinum insigni volumine exilio liberatur.

Iuvencus presbyter natione hispanus evangelia heroicis versibus explicat.

Alexandrinae ecclesiae decimusnonus ordinatur episcopus Athanasius. Metrodorus philosophus agnoscitur.		334	24	Dedicatur Constantinopolis paene omnium urbium nuditate, quae ante Bysantium dicta.
Edicto Constantini gentilium templa subversa sunt.		335	25	

Romae tricesimus secundus ecclesiam tenuit Marcus mensibus octo. Post quem tricesimus tertius ordinatus est Iulius annis sedecim, mensibus quatuor.

		336	26	Romani Gothos in Sarmatarum regione vicerunt.
Constantius filius Constantini provehitur ad regnum.	279	337	27	Pestilentia et fame innumerabilis multitudo in Syria Ciliciaque perit.
Sarmatae et Limigantes dominos suos, qui nunc Archaragantes vocantur, facta manu, in romanum solum expulerunt. R. MXC.		338	28	Calocaerus in Cypro res novas molitus opprimitur.
		339	29	

a Λικίνιος τέλος σφαγείς. *Chron. pasch. p.* 282. *B.*

b Κωνσταντῖνος Κρίσπον τὸν ἴδιον υἱὸν Καίσαρα ὄντα καὶ διαβληθέντα αὐτῷ ἀνεῖλεν. *Ibidem D.*

c Κωνσταντῖνος εἰκοσαετηρίδα τῆς βασιλείας αὐτοῦ ἦξεν, καὶ ἔδωκεν ἐν τῇ Ῥώμῃ βικεννάλια. *Ibidem C.*

	OLYMP.	CHRISTUS	ROM. Constantinus	
Tricennalibus Constantini Dalmatius Caesar appellatur.		34n	30	Pater rhetor Romae gloriosissime docet.

Nazaris rhetoris filia in eloquentia patri consequatur, cui nomen Eunomia fuit.

Eustachius constantinopolitanus presbyter agnoscitur: cuius industria in Hierosolymis martyrium constructum est.

Tiberianus vir disertus praefectus praetorio Gallias regit.

	280	341	31	

Constantinus extremo vitae suae tempore ab Eusebio nicomediensi episcopo baptizatus, in arrianum dogma declinat: a quo usque in praesens tempus ecclesiarum rapinae, et totius orbis est secuta discordia.

Constantinus, cum bellum pararet in Persas, in Acyrone (*al.* Acinore) villa publica juxta Nicomediam moritur, anno aetatis LXIII (*al.* LXVI.): post quem tres liberi eius ex Caesaribus Augusti appellantur.

XXXVII. CONSTANTIUS. CONSTANTINUS. et CONSTANS, annis XXIV, mensibus V, diebus XII.

Sapor rex Persarum, Mesopotamia vastata, duobus ferme mensibus Nisibin obsedit.		342	1	Ablavius praefectus praetorio, et multi nobilium interfecti. Iacob nisibenus episcopus agnoscitur: ad cuius preces saepe urbs discrimine liberata est.
		343	2	

Dalmatius Caesar, quem patruus Constantinus consortem regni filiis reliquerat, factione Constantini patruelis et tumultu militari, anno imperii sui tertio, occiditur.

		344	3	

Ex hoc loco impietas arriana Constantii regis fulta praesidio exiliis, carceribus, et variis afflictionum modis primum Athanasium, deinde omnes non suae partis episcopos persecuta est.

Subrogatus Eusebius archiepiscopus rothomagensis V.

Vario eventu adversum Francos a Constante pugnatur.		345	4	Constantinus bellum fratri inferens juxta Aquileiam Alsae occiditur.
Multae orientis urbes terrae motu horribili conciderunt.	281	346	5	Audaeus in Syria Coele clarus habetur, a quo haeresis audeana.
Antiochiae Dominicum aureum dedicatur. Macedonius artis plumariae in locum Pauli ab arrianis episcopis subrogatur: a quo nunc haeresis macedoniana.		347	6	Paulus crudelitate Philippi praefecti (nam fautor Macedonii partium erat) et Arrianorum insidiis strangulatur.

Hermogenes magister militiae Constantinopoli tractus a populo ob episcopum Paulum, quem regis imperio et Arrianorum factione pellebat.

Franci a Constante perdomiti, et pax cum eis facta.

		348	7	

Maximus Trevirorum episcopus clarus habetur: a quo Athanasius Alexandriae episcopus, cum a Constantio quaereretur ad poenam, honorifice susceptus est.

Neocaesarea in Ponto subversa, excepta ecclesia, et episcopo, ceterisque, qui ibi reperti sunt.	R. MC. 282	349	8	Titianus vir eloquentissimus praefecturam praetoriam apud Gallias administrat. Sapor rex Persarum Christianos persequitur.
Athanasius ad Constantis (*al.* Constantii) litteras Alexandriam regreditur.		350	9	
Magnis rei publicae expensis in Seleucia Syriae portus effectus. Eusebius episcopus emisenus arrianae signifer factionis multa et varia conscribit.		351	10	Dyrrachium corruit terrae motu: et tribus diebus ac noctibus Roma nutavit: plurimaeque Campaniae urbes versatae. Rursum Sapor tribus mensibus obsedit Nisibin.
Solis facta defectio.		352	11	

OLYMP. CHRISTUS ROM.

Constantius

283 353 12

Bellum persicum nocturnum apud Singaram, in quo haud dubiam victoriam militum stoliditate perdidimus. Neque vero ullum Constantio ex novem gravissimis proeliis contra Persas gravius bellum fuit. Nam, ut alia omittam, Nisibi obsessa, Bizabdae et Amida captae sunt.

Quadragesimus Maximus post Macarium Hierosolymorum episcopus moritur. Post quem ecclesiam Arriani invadunt: id est Cyrillus, Eutychius, rursum Cyrillus, Irenaeus, tertio Cyrillus, Hilarius, quarto Cyrillus; quorum Cyrillus, cum a Maximo fuisset presbyter ordinatus, et post mortem eius ita ei ab Acacio episcopo caesariensi, et ceteris episcopis arrianis episcopatus promitteretur, si ordinationem Maximi repudiasset, diaconus in ecclesia ministravit: ob quam impietatem sacerdotii mercede pensatus, Heraclium, quem moriens Maximus in suum locum substituerat, varia fraude sollicitans, de episcopo in presbyterum regradavit.

354 13

Romanae ecclesiae tricesimus quartus ordinatur episcopus Liberius. Quo in exilium ob fidem truso, omnes clerici iuraverunt, quod nullum alium susciperent. Verum cum Felix ab Arrianis fuisset in sacerdotium substitutus, plurimi peieraverunt: et post annum cum Felice eiecti sunt; quia Liberius taedio victus exilii, et in haeretica pravitate subscribens, Romam quasi victor intraverat.

Romae populus adversus Magnentianos rebellans ab Heraclida senatore proditur.

Vetranioni apud Naissum a Constantio regium insigne detractum.

Magnentio apud Augustodunum arripiente imperium, Constans haud longe ab Hispania, anno aetatis suae tricesimo, imperii sui tertiodecimo, in castello, cui nomen est Helene, interficitur. Quam ob rem turbata re publica Vetranio Mursae, Nepotianus Romae imperatores facti.

Nepotiani caput pilo per Urbem circumlatum, multaeque proscriptiones nobilium et caedes factae.

355 14

Nonnulli nobilium Antiochiae a Gallo interfecti. — 356 15 — Gallus Constantii patruelis Caesar factus.

Magnentius Mursae victus: in quo proelio romanae vires conciderunt.

Gallus Iudaeos, qui interfectis per noctem militibus arma ad rebellandum invaserant, oppressit, caesis multis hominum milibus, usque ad innoxiam aetatem: et civitates eorum Diocaesaream, Tiberiadem, et Diospolim, plurimaque oppida igni tradidit.

284 357 16

Gennadius foroiuliensis orator Romae insignis habetur. — 358 17 — Minervius burdigalensis rhetor Romae florentissime docet.

Magnentius Lugduni in palatio propria se manu interficit: et Decentius frater eius, quem ad tuendas Gallias Caesarem miserat, apud Senonas laqueo vitam explet.

R. M.CR. 359 18

Silvanus in Gallia res novas molitus vicesimo octavo die extinctus est.

Gallus Caesar sollicitatus a Constantio patrueli, cui in suspicionem ob regiam indolem venerat, Istriae (*al.* Histone) occiditur.

Victorinus rhetor et Donatus grammaticus praeceptor meus Romae insignes habentur: e quibus Victorinus etiam statuam in foro Traiani (*al.* romano) meruit.

Alcimus et Delphidius rhetores in Aquitania florentissime docent. — 360 19 — Paulinus et Rhodanus Galliarum episcopi in exilium ob fidem trusi.

Petrus Caesaraugustae orator insignis docet.

Donatus, a quo supra Donatianos dici in Africa memoravimus, Charthagine pellitur. Quidam sectatores eius etiam Montenses vocant, eo quod ecclesiam Romae primum in monte habere coeperunt.

Eusebius vercellensis episcopus, et Lucifer, ac Dionysius caralitanae, et mediolanensis ecclesiae episcopi, Pancratius quoque romanus presbyter, et Hilarus diaconus distantibus inter se ab Arrianis et a Constantio dampnantur exiliis.

285 361 20

Iulianus frater Galli Mediolani Caesar appellatur.

Reliquiae apostoli Timothei Constantinopolim invectae.

Sarmatha, Amathas, et Macarius discipuli Antonii insignes habentur.

Liberius episcopus romanus in exilium mittitur.

OLYMP. CHRISTUS ROM.

Constantius

Antonius monachus centesimo quinto anno aetatis in eremo moritur, solitus multis ad se venientibus de Paulo quodam thebaeo mirae beatitudinis viro referre complura: cuius nos exitum brevi libello explicuimus.

Hilarius episcopus pictaviensis factione Saturnini arelatensis episcopi, reliquorumque, qui cum eo erant, arrianorum, ante triennium in Phrygiam pulsus libros de nostra religione componit.

Sarraceni in monasterium beati Antonii irruentes Sarmatham interficiunt.

Magnae Alamannorum copiae apud Argentoratum (*al.* Argentarium, *infra* Argentariam) oppidum Galliarum a Caesare Iuliano oppressae.

Evanthius eruditissimus grammaticorum Constantinopoli diem obiit: in cuius locum ex Africa Chrestus assumitur.

362 21

Constantio Romam ingresso, ossa Andreae apostoli, et Lucae evangelistae a Constantinopolitanis miro favore suscepta.

Paulinus Trevirorum episcopus in Phrygia (*al.* Pythia) exulans moritur.

Nicomedia terrae motu funditus eversa, vicinis urbibus ex parte versatis.

363 22

Synodus apud Ariminum et Seleuciam Isauriae facta: in qua antiqua patrum fides, decem primum legatorum, dehinc omnium proditione dampnata est.

Hilarius, cum apud Constantinopolim librum pro se Constantio porrexisset, ad Gallias rediit.

Macedonius Constantinopoli pellitur.

364 23

Honoratus ex praefecto praetorio Galliarum primus Constantinopoli praefectus urbi factus.

Gratianus, qui nunc imperator est, nascitur.

Omnes paene toto orbe ecclesiae sub nomine pacis et regis Arrianorum consortio polluuntur.

Constantius Mopsocrenis inter Ciliciam Cappadociamque moritur, anno aetatis XLV. (*al.* XLII.)

286 365 24

Constantinopoli maxima ecclesia dedicatur.

Gallia per Hilarium ariminensis (*al.* arrianae) perfidiae dolos dampnat.

Meletius Sebastiae Armeniorum episcopus ab Acacio, et Georgio episcopis arrianis Antiochiam transfertur: et post non grande temporis intervallum, cum presbyteros, qui ab Eudoxio antecessore suo depositi fuerant, suscepisset, exilii iustissimam causam subita fidei demutatione delusit.

Georgio per seditionem populi incenso, qui in locum Athanasii ab Arrianis fuerat ordinatus, Athanasius Alexandriam revertitur.

XXXVIII. IULIANUS anno uno, mensibus octo.

366 1

Iuliano ad idolorum cultum converso, blanda persecutio fuit illiciens magis, quam impellens ad sacrificandum: in qua multi ex nostris voluntate propria corruerunt.

Eusebius et Lucifer de exilio revertuntur: e quibus Lucifer adscitis aliis duobus confessoribus, Paulinum Eustachii episcopi presbyterum, qui se nunquam haereticorum communione polluerat, in parte catholica Antiochiae episcopum facit.

367 2

Aemilianus ob ararum subversionem Dorostori a vicario incenditur.

Prohaeresius sophista atheniensis, lege data, ne Christiani liberalium artium doctores essent, cum sibi specialiter Iulianus concederet, ut Christianos doceret, scholam sponte deseruit.

Ecclesia Antiochiae clausa, et gravissima imminentis persecutionis procella Dei voluntate sopita est. Nam Iulianus in Persas profectus nostrum post victoriam diis sanguinem voverat: ubi a quodam simulato perfuga ad deserta perductus, cum fame et siti Apostata perdidisset exercitum, et inconsultius a suorum erraret agminibus, ab obvio forte hostium equite conto ilia perfossus interiit, anno aetatis XXXI. (*al.* XXXII.) Post quem sequenti die Iovianus ex primicerio domesticorum imperator factus est.

XXXIX. IOVIANUS mensibus octo.

Iovianus rerum necessitate compulsus Nisibin et magnam Mesopotamiae partem Sapori regi Persarum tradidit.

368 1

Subrogatus Marcellinus archiepiscopus rothomagensis VII.

Synodus Antiochiae a Meletio et suis facta, in qua homousio enomoeoque reiecto, medium inter haec homoeusion macedonianum dogma vindicaverunt.

Iovianus eruditate, sive odore prunarum, quas nimias adoleri iusserat, Dadastanae moritur, anno aetatis XXXIIII. Post quem Valentinianus tribunus scutariorum e Pannonia cibalensis apud Nicaeam Augustus appellatus, fratrem Valentem Constantinopoli in consortium regni assumit.

	OLYMP.	CHRISTUS	AUM. Valentinianus et Valens	
Apollinaris laodicensis episcopus multimoda nostrae religionis scripta componit. R. MCXX.	287	369	1	XXXIX. VALENTINIANUS, et VALENS annis XIII, mensibus V.

Valentinianus egregius alias imperator et Aureliano moribus similis, nisi quod severitatem eius nimiam et parcitatem quidam crudelitatem et avaritiam interpretabantur.

Terrae motu per totum orbem facto, mare litus egreditur, et Siciliae multarumque insularum innumerabiles populos opprimit.

Valens ab Eudoxio Arrianorum episcopo baptizatus nostros persequitur.		370	2	

Procopius, qui apud Constantinopolim tyrannidem invaserat, apud Phrygiam salotarem extinctus est: et plurimi procopianae partis caesi atque proscripti.

Romanae ecclesiae tricesimus quintus ordinatur episcopus Damasus. Et post non multum temporis intervallum Ursinus (*al.* Ursicinus) a quibusdam episcopus constitutus Sicininum cum suis invadit: quo damasianae partis populo confluente, crudelissimae interfectiones diversi sexus perpetratae.

Gratianus Valentiniani filius Ambianis imperator factus.		371	3	Apud Atrebatas lana e caelo pluviae mixta defluit. Hilarius pictaviensis episcopus moritur.

Tanta Constantinopoli est orta tempestas, ut mirae magnitudinis decidens grando nonnullos hominum interfecerit.

Libanius antiochenus rhetor agnoscitur.		372	4	Nicaea, quae saepe ante corruerat, terrae motu funditus eversa.
Agon Constantinopoli a Valente redditus.	288	373	5	Eusebius vercellensis episcopus moritur.

Athanaricus rex Gothorum in Christianos persecutione mota plurimos interficit: et de propriis sedibus in romanum solum expellit.

Magna fames in Phrygia.		374	6	Constantinopoli apostolorum martyrium dedicatur.

Lucifer caralitanus episcopus moritur, qui cum Gregorio episcopo Hispaniarum, et Philone Libyae nunquam se arrianae miscuit pravitati.

Maximinus praefectus annonae maleficos ab imperatore investigare iussus plurimos Romae nobilium occidit.

Valentinus in Britannia, antequam tyrannidem invaderet, oppressus est.		375	7	Presbyter Sirinus (*al.* Sirmii) nequissime decollatur, quod Octavianum ex proconsule apud se latitantem prodere noluisset.

Lex datur, nobilitate deleta, ut quique quarto gradui iungantur.

Didymus alexandrinus multa de nostro dogmate per notarios commentatur: qui post quintum nativitatis suae annum luminibus orbatus elementorum quoque ignarus fuit.

Probus praefectus Illyrici iniquissimis tributorum exactionibus ante provincias, quas regebat, quam a barbaris vastarentur, erasit.

Eunomius discipulus Aëtii Constantinopoli agnoscitur, a quo haeresis eunomiana.

		376	8	
Saxones caesi Deusone in Francorum regione.	189	377	9	Burgundionum octoginta ferme milia, quod nunquam antea, ad Rhenum descenderunt.

Clearchus praefectus urbis Constantinopoli agnoscitur: a quo necessaria et diu expectata votis aqua inducitur civitati.

Alexandriae vicesimus ordinatur episcopus Petrus: qui post Valentis interitum tam facilis in recipiendis haereticis fuit, ut nonnullis suspicionem acceptae pecuniae intulerit.

Melania nobilissima mulierum romanarum et Marcellini quondam consulis filia, unico praetore tunc urbano filio derelicto, Hierosolymam navigavit: ubi tanto virtutum praecipueque humilitatis miraculo fuit, ut Theclae nomen acciperet.

	OLYMP.	CHRISTUS	ROM. Valentinianus et Valens	
		378	10	
Aquileienses clerici, quasi chorus beatorum habentur. R. MCXXX.		379	11	Multi monachorum Nitriae per tribunos et milites caesi.
Valens lege data, ut monachi militarent, nolentes fustibus iussit interfici. (*al.* fluctibus necari.)				Quia superiori anno Sarmatae Pannonias vastaverunt, iidem consules permansere.

Post Auxentii seram mortem, Mediolani Ambrosio episcopo constituto, omnis ad fidem rectam Italia convertitur.

Theodulus miserabilis presbyter, dum adversus conscientiam furoris sui sacrificia Deo offerre auderet, in mediis precibus eliditur.

Valentinianus subita sanguinis eruptione, quod graece apoplexis vocatur, Brigitione moritur. Post quem Gratianus assumpto in imperium Valentiniano fratre, cum patruo Valente regnat.

Apollinarius laodicensis iactatione ingenii quosdam errores pertinaciter asseverans, haeresim sui nominis suscitavit, quam Damasus habito Romae concilio damnavit.

Theodosius Theodosii postea imperatoris pater, et plurimi nobilium occisi.

Photinus in Galatia moritur, a quo Photinianorum dogma iudaicum (1): qui multa continentiae et ingenii bona uno superbiae malo perdidit. (*al.* decoloravit.)

Alamanorum triginta circiter milia apud Argentariam oppidum Galliarum ab exercitu Gratiani strata.		380	12	Basilius caesariensis episcopus Cappadociae clarus habetur.

Florentinus et Bonosus (*al.* Bosonius) et Rufinus insignes monachi habentur: e quibus Florentinus tam misericors in egentes fuit, ut vulgo pater pauperum vocatus sit.

Superatis in congressione Romanis, Gothi funduntur in Thraciam.	290	381	13	

Gens Hunorum Gothos vastat: qui a Romanis sine armorum depositione suscepti, per avaritiam Maximi ducis ad rebellandum fame coacti sunt.

		382	14	Valens de Antiochia exire compulsus sera paenitentia nostros de exiliis revocat.

Lacrymabile bellum in Thracia: in quo, deserente equitum praesidio, romanae legiones a Gothis cinctae usque ad internecionem caesae sunt. Ipse imperator Valens, cum sagitta saucius fugeret, et ob dolorem nimium saepe equo laberetur, ad cuiusdam villae casam deportatus est. Quo persequentibus barbaris, et incensa domo, sepultura quoque caruit.

Ab Urbe condita, usque ad extremum huius operis annum, fiunt anni M. CXXXI hoc modo. Sub Regibus anni CCXL. Sub Consulibus anni CDLXIIII. Sub Augustis et Caesaribus anni CDXXVII.

Colliguntur omnes anni usque in consulatum Valentis sexies, et Valentiniani iunioris iterum Augusti, a quinto decimo Tiberii anno et praedicatione domini Iesu Christi anni CCCLI.

A secunda anno Darii regis Persarum, quo tempore templum Hierosolymis instauratum est, anni DCCCXCIX.

Ab olympiade prima, qua aetate apud Hebraeos Isaias prophetabat, anni MCLVI.

A Salomone et prima aedificatione templi, anni MCCCCXI.

A captivitate Troiae, quo tempore Samson apud Hebraeos erat, anni MDLXI.

(1) Recte *iudaicum* pro *inductum*. Nam iudaizantem Photinum ecclesiastica narrat historia. Porro sequentem de Photini superbia pericopen stulti aliquot amanuenses ad proximam S. Basilii magni pericopen transtulerunt; quod mendum non agnovit in adn. Scaliger, sed Pontacum non fugit, codices etiam vaticani coarguunt, et Basilium sanctissimum ab iniqua criminatione defendunt.

A Moyse et Cecrope primo rege Atticae, anni MDCCCXC. (*al.* MDCCCXCIII.) (*al.* MDCCCCXC)
Ab Abraham et regno Nini et Semiramidis, anni MMCCCXCV.
Continet omnis canon ab Abraham usque ad tempus suprascriptum annos MMCCCXCV.
A diluvio usque ad Abraham supputantur anni DCCCXCII. (*al.* DCCCCXLII).
Et ab Adam usque ad diluvium, anni MMCCXLII.
Fiunt ab Abraham usque ad quintum decimum Valentis annum, id est usque post consulatum eius sextum, et Valentiniani iterum Augusti, omnes anni VMDXXIX. (*al.* VMDLXXIX.)

HUC USQUE HIERONYMUS PRESBYTER
ORDINEM PRAECEDENTIUM DIGESSIT ANNORUM.

EMENDATIONES.

Pag. 6. *gr. v.* 10. *lege* ἐρυθρᾶς θαλάσσης.

Pag. 9. *gr. v.* 13. *lege* ὁμοροῦντα.

Ibidem lege ἀφραίνον, *quod vocabulum occurrit apud Nyssenum in oratione contra Macedonianos ff.* 1. *a me nuper edita.*

P. 12. *n.* 4. σῶμα. *Immo vero id mendum est editionis goarianae pro* αἷμα.

P. 14. *gr. v.* 3. *lege* ἀναγεγράφθαι

P. 15. *gr. v.* 1. *lege* τελευταῖς.

P. 17. *gr. v.* 1. *lege* ἀπὸ τοῦ πλοίου κομίζειν.

Ibidem v. 8. *lege* τοῦ δὲ θεοῦ ἐμφυσήσαντος.

P. 18. *gr. v.* 3. *lege* τῶν πϛ' δύο μὲν χαλδαίων βασιλέων Εὐηχίου καὶ Χωμασβήλου. *Et mox* ϙη' *pro* ϙϛ' *Et v.* 23. ἄραβες βασιλεῖς θ.

P. 21. *gr. v. lege* Ἀμύντην.

P. 23. *gr. v.* 3. *lege* ἐχόμενον.

P. 25. *cap. IX.* templum Athenarum *error est armenii interpretis, qui legit* Ἀθηνῶν *pro* Ἀθηνᾶς. *Scribe igitur* templum Minervae.

P. 136. *et* 198 *lege* Theophemus *pro* Theophimus.

P. 145. *n.* 1. *Auctor catalogi olympiadum credendus est potius Longinus vel Phlegon. Confer cap. XLI.*

P. 165. *v.* 5. *lege* Magnes. *Et n.* 1. *v.* 8. ceteroquin et ποίαλον.

P. 183. *v.* 16. Pyrrhus. *Ita est etiam in veneta editione. Sed tamen scribendus omnino est* Alexander *Pyrrhi filius.*

P. 186. *v.* 4. exercitibus. *Graece* dynastis, *quam lectionem confirmant exerpta mea vaticana Diodori p.* 42.

P. 188. *n.* 4. *Immo Achaeus, de quo loquitur Porphyrius, senior est. Qui autem se regem dixit, iunior.*

P. 279-280. *Graecus textus fere invenitur in S. Nicephori epitome chronographica.*

P. 280. *lege* Constantius obiit Eboraci in B.

P. 298. *an.* 555. *lege* Lapis *pro* lapis. *Et scribe graeca verba ex Sync. p.* 157. Κρήτης ἐβασίλευσε Λάπης.

P. 306. *gr. v.* 7. *lege* ἀπεστάλη.

P. 392. *Pericope* quadraginta missus etc. *pertinet ad an.* 249. *Ibidem lege* cucurrerunt.

SANCTORUM

GREGORII NYSSENI

ET

CYRILLI ALEXANDRINI

NOVA SCRIPTA

EX CODICIBUS VATICANIS.

ΤΟΥ ΑΓΙΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΓΡΗΓΟΡΙΟΥ ΕΠΙΣΚΟΠΟΥ ΝΥΣΣΗΣ

ΛΟΓΟΣ

ΚΑΤΑ ΑΡΕΙΟΥ ΚΑΙ ΣΑΒΕΛΛΙΟΥ.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθὸν, ἀρτίως ὁ ψαλμῳδὸς ἔλεγε· τοῦτον τὸν ἀγαθὸν λόγον τοῦ θεοῦ οἱ μὲν κατὰ Ἄρειον καὶ Ἀχιλλιάν τε ἀσεβεστάτην φωνὴν προϊέμενοι, ἐτόλμησαν κτίσμα καὶ ποίημα διακηρύξαι, καὶ πολλοὺς τῇ ἑαυτῶν ἐφείλκυσαν πλάνῃ· οἱ δὲ κατὰ Σαβέλλιον τἀναντία τούτων φρονοῦντες, ἀναιρεῖν μὲν πειρῶνται τὴν ὑπόστασιν τοῦ υἱοῦ, αὐτὸν δὲ τὸν πατέρα ἕνα ὄντα δυσὶν ὀνόμασι γεραίροντα οἰόμενοι, υἱοπάτορα προσαγορεύουσιν· αἱ δ' ἑκάτεραι δόξαι αὗται ὥσπερ παγίδες δύο τέθεινται ὑπὸ τῶν προηγορευομένων· διέισι δὲ μέση τὶς ὁδὸς στενὴ καὶ τεθλιμμένη ἡ ἀπάγουσα εἰς τὴν ζωὴν κατὰ τὸ εὐαγγέλιον· ταύτης οἱ πολλοὶ τῶν ἀνθρώπων ἐκκλίνοντες, τῆς ἑτέρας θήραμα γίνονται· σὺ δέ μοι δοκεῖς δεδοικέναι τὰς ἑκατέρων ἐμπτώσεις, καὶ αὐτὴν ἀποφεύγειν τῆς ἀληθείας ὁδὸν, οἰόμενος μὴ δεῖν περὶ θεοῦ λόγον προχειρίζεσθαι· ὅρα τοίνυν μὴ τῇ τῶν δυοῖν πλάνῃ εὐλαβούμενος, ἀσεβείας τιμωρίαν ὀφλήσεις· αὐτὸς ὁ σωτὴρ πρὸ τῆς ἀληθοῦς ὁδοῦ ἑστηκὼς κέκραγε λέγων· ἐγώ εἰμι ἡ ὁδὸς καὶ ἡ ἀλήθεια, μὴ ἐκκλίνῃς εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερὰ, ὅπως μηδετέρᾳ αὐτῶν προστύχῃς· καὶ πάλιν· ἐγώ εἰμι ἡ θύρα τῶν προβάτων· ὁ μὴ εἰσιὼν δι' ἐμοῦ ἀλλὰ ἀλλαχόθεν ἀναβαίνων, κλέπτης ἐστὶ καὶ λῃστὴς ὃς καὶ ὑπὸ παγίδος ἁλοὺς ἀπολεῖται· ἀκουέτωσαν τοίνυν οἱ πρὸς τὴν τῶν ἑκατέρων πλάνην ἐπιστρέψαντες τὸν νοῦν, ὡς κατὰ φύσιν ὁ σωτὴρ ἡμῶν Ἰησοῦς Χριστὸς υἱὸς θεοῦ ἐστί τε καὶ προσαγορεύεται, καὶ οὐ ποίημα ὢν κατὰ χρῆσιν ὀνομάζεται, ὥσπερ ἡμεῖς, υἱὸς· καὶ ὅτι οὐκ ἔχων ἀρχὴν ἀλλὰ ἀΐδιος, διὰ τοῦτο καὶ ἐν ἀτελευτήτοις αἰῶσι κατ' ἰδίαν ὑπόστασιν συμβασιλεύσει τῷ πατρί.

Ἀλλ' ἴσως εἴποι τις ἄν· πᾶν τὸ ἄναρχον, καὶ ἀγέννητον ἂν εἴη· πῶς ὁ υἱὸς εἰκότως ἂν προσαγορεύοιτο ἄναρχος, οὗ καὶ τ' οὔνομα ἔμφασιν ἀρχῆς ἔχει; υἱὸς γὰρ ἐκ τοῦ γεγεννῆσθαι ὠνόμασται· γένεσις δὲ ὅτι ὑπ' ἀρχὴν ὑποπέπτωκεν, οὐκ ἄν τις ἀρνήσαιτο. Εἰ οὖν υἱὸς τυγχάνει, δηλοῦται ἡμῖν ἐκ τῆς γεννήσεως ἀρχὴν εἰληφώς· ἴσως δὲ καὶ τέλος ἕξει, εἴποι τὶς ἂν κατὰ τὸν φιλόσοφον λόγον· καὶ ὁ ἀπόστολος δέ φησι ὑποταγήσεσθαι αὐτὸν τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα καὶ παραδώσειν αὐτὸν τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ· ὡς ὑπειλῆφθαι αὐτὸν οὐκ ὄντα πρὸ τοῦ γεννᾶσθαι, πάλιν εἰς τὸ μὴ εἶναι χωρήσειν. Ἀνάβηθί μοι ἐπὶ τῆς ἀσ-

φαύλους πίστεως μὴ συναρπασθῇς ὥσπερ βιαίᾳ πνοῇ τῇ τῶν τοιούτων λογισμῶν ἀπάτῃ, ὡς χνοῦς ὃν ἐκρίπτει ὁ ἄνεμος ἐκ τῆς στενῆς καὶ εὐθείας ὁδοῦ ἐπὶ βάραθρα τῆς ἀπωλείας· εἰ γὰρ ὁ πατὴρ τῶν ὅλων ἀγέννητος καὶ ἀΐδιος σοφός τε καὶ δυνατὸς, ὁ δ' ἀπόστολος τὴν εἰς αὐτὸν πίστιν εὐαγγελιζόμενος διακηρύττει πᾶσι Χριστὸν Θεοῦ δύναμιν καὶ Θεοῦ σοφίαν, πῶς ἂν τολμῶσιν ὑπὸ χρόνον ἄγειν αὐτοῦ τὴν γέννησιν, καὶ οὐκ ἀΐδιον οὐδὲ ἄναρχον ὑπολαμβάνειν; εἰ γὰρ κατὰ τὴν τινῶν ὑπόληψιν ὑπὸ χρόνου μοῖραν πέπτωκεν ἡ τοῦ σωτῆρος ἡμῶν γένεσις, ἠτίμασται ἔτι οὐ μόνον ὁ υἱὸς, ἀλλὰ καὶ ὁ πατὴρ κατὰ τὴν τοῦ υἱοῦ φωνὴν, οὔτε ἐμὲ οἴδατε οὔτε τὸν πατέρα· ὁ μὴ τιμῶν τὸν υἱὸν, οὐ τιμᾷ τὸν πατέρα· ὃς μὲν, ὡς οὐκ ὢν πρὸ τοῦ γενέσθαι· ὃς δὲ, ὡς μὴ ἔχων δύναμιν καὶ σοφίαν πρὸ τοῦ εἶναι τὸν υἱόν· ἀκολούθως δ' ἂν ὑπολαμβάνοιεν οἱ τοιοῦτοι μηδὲ Θεὸν εἶναι τὸν πατέρα ποτὲ πρὶν γενέσθαι τοῦ υἱοῦ· πῶς γὰρ ἂν Θεὸς, εἰ μὴ δύναμιν καὶ σοφίαν ἐκέκτητο; εἰ δὲ ἀεὶ ὢν Θεὸς ὑπὸ τῶν θείων ἡμῖν γραφῶν τεθέσπισται, ἀεὶ ἄρα σοφίαν καὶ δύναμιν, τουτέστι τὸν Χριστὸν, ἔχων μεθ' ἑαυτοῦ πιστευτέον.

Μέμνημαι δὲ ὑποσχόμενος ἔμπροσθεν ὥσπερ δι' ἐσόπτρου δείξειν ὑμῖν τὴν εἰκόνα τῆς περὶ τὸν πατέρα καὶ τὸν υἱόν· ἐπείπερ ἀνθρωπίνῳ λόγῳ τὰ κατὰ τὴν θείαν φύσιν οὐχ ὑποτέτακται· ὁπότε γὰρ αὐτὸς ὁ Θεὸς οὐ κατὰ τὴν ἰδίαν τοῦ μεγέθους δύναμιν διείλεκται ἡμῖν, ἀλλὰ συμμετρεῖ ταῖς ἀνθρωπείναις ἀκοαῖς τὴν ἑαυτοῦ φωνὴν, ὅπως οἷοί τε ὦμεν ταῖς ἀκοαῖς τὴν θείαν φωνὴν ὑποδέξασθαι. Καὶ γάρ τοι καὶ τὸ ἀνύποιστον καὶ ἀπερίληπτον μέγεθος αὐτοῦ συμμετρεῖ ταῖς τῶν ἀνθρώπων ὄψεσι· καὶ Θεὸς ὢν, ἄνθρωπος πέφηνε· ἐκένωσε γὰρ ἑαυτὸν μορφὴν δούλου λαβὼν, ἵνα δυνηθῶμεν οἱ ἄνθρωποι θεάσασθαι Θεόν· ὥσπερ οὖν πεπείσμεθα ὅτι οὐκ ὢν ἄνθρωπος, πέφηνε μὲν ἄνθρωπος, κατὰ φύσιν δὲ Θεὸς ἦν τε καὶ ἔστι, τὸ ἀπερίληπτον μέγεθος αὐτοῦ σώματι περιγράψας, καὶ δι' ἑαυτοῦ, ὥσπερ δι' ἐσόπτρου, τὸ ὅλον ἡμῖν μέγεθος τοῦ Θεοῦ πεφήνας, ἵν' ὥσπερ διόπτρᾳ τούτῳ χρησάμενοι, καὶ τοῦ πατρὸς θεαταὶ γενώμεθα· εἰκὼν γὰρ τοῦ ἀοράτου Θεοῦ κατὰ τὸν ἀπόστολον τυγχάνων εἴρηκεν, ὁ ἑωρακὼς ἐμὲ ἑώρακε τὸν πατέρα· οὕτως καὶ διὰ τῶν ἐν ταῖς γραφαῖς κατὰ τὸ μέτρον τῶν ἀκοῶν ἡμῶν εἰρημένων, μὴ ἁρμοζόντων δὲ πολλαχῶς τῇ θεότητι δι' ἀσθένειαν λόγου, ἀναλόγως θεωρῶμεν αὐτὸν τῇ διανοίᾳ· ὥσπερ γὰρ Θεὸς σώματι περίγραπτος ἡμῖν ὦπται διὰ τὰς ὄψεις, οὕτως καὶ ὁ λόγος μικρότερος, ἢ κατὰ Θεὸν, κεκήρυκται διὰ τὰς ἀκοάς.

Δέδεικται δὲ, ὥσπερ προέφημεν, διὰ ταύτης τῆς γραφῆς ὡς ἀνθρώπινος λόγος θεόν τε καὶ τὰ κατ' αὐτὸν οὐκ ἂν ἐνδέξαιτο· ἐπειδὴ γὰρ οὐχ ὑπολέλειπτο μέρος λόγου τὸ μηνύον τὴν ἀϊδιότητα τοῦ υἱοῦ, τῇ προθέσει ὥσπερ αἰνίγματι σημαίνει σύγχρονον εἶναι τῷ πατρὶ ἡ γραφὴ λέγουσα, πρὸ ἑωσφόρου ἐγέννησά σε· καὶ πρὸ πάντων τῶν βουνῶν γεννᾷ με καὶ ἑκάστου δημιουργήματος· τοῦτο τὸ μέρος τοῦ λόγου προτιθεῖσα ἡ γραφὴ ἄναρχον αὐτὸν ἀποφαίνει· τὸ γὰρ πρὸς ὑπερβατικὸν πάντων ὂν, καὶ μάλιστα ὅτε πρὸ τῶν αἰώνων λέγει, εἰς τὸ ἀΐδιον καὶ ἄναρχον τρέπει

ἡμῶν τὸν νοῦν· πῶς οὖν τῷ πατρὶ συνάει . . ζώμενον τὸν υἱὸν εἶναι καὶ γεγεννῆσθαι ἐπιγέγραπται, εἰκόνα σοι τούτων προτείνω, ἐπείπερ τὴν κατὰ φύσιν οὐ καθικνεῖται ὁ λόγος, τὴν ἀκτῖνα ὑπὸ τοῦ ἡλίου· πῶς οὐκ ἂν φήσειας τετέχθαι καὶ τὸ φῶς ὑπὸ τοῦ λύχνου; ἀλλ' ὥσπερ οὐ πρότερον ὁ ἥλιος, ἔπειτα ἡ ἀκτὶς, ἀλλ' ἅμα τῷ εἶναι ἢ γεγονέναι τὸν ἥλιον, ἔστι τε καὶ γέγονεν ἡ ἀκτίς· καὶ ἅμα τῷ ὑπάρξαι τὸν λύχνον, ὑπῆρξε καὶ τὸ φῶς· καὶ τὸ γεννώμενον ὑπὸ τοῦ λύχνου, οὐ μετά τινα χρόνον ἀλλὰ σὺν αὐτῷ γεννώμενον φαίνεται· οὕτως οὐ πρῶτος θεὸς, μετέπειτα δὲ ἡ σοφία αὐτοῦ, ἀλλ' ἅμα τῷ εἶναι τὸν θεὸν τῶν ὅλων, ἦν δὲ πάντοτε, ἦν ἄρα καὶ ἡ σοφία τουτέστιν ὁ Χριστός· καί τοι γεννωμένη ὑπὸ τοῦ θεοῦ, καὶ γέννημα εἰκότως προσαγορεύεται ἡ σοφία τοῦ διαδεικνυμένου αὐτήν· τὸ δὲ πρὸ πάντων βουνῶν γεννᾷ με, ἐμφαίνει πάντοτε γεννώμενον τοῖς ἀνθρώποις ὑπὸ τοῦ πατρὸς τὸν σωτῆρα· καὶ τὸ σήμερον γεγέννηκά σε, καί τοι προγεγεννημένον καὶ ἀεὶ συνόντα, ὑπὸ χρόνου μέρει τὸ σήμερον ἄγουσα ἡ γραφὴ σημαίνει, ἀεὶ τοῖς καθεξῆς προϊοῦσιν αὐτῷ γεννᾶσθαι, ἄχρις οὗ τὸ σήμερον καλεῖται· εἴ ποτε δὲ τὸ σήμερον τῷ κόσμῳ τούτῳ συμπεριορισθῇ τοῖς τέλεσιν, οὐκέτι γεννᾶται, ἀλλ' ἅπαξ τοῖς ἅπασι γεγεννημένος, καὶ πάντων κριτὴς καὶ δικαστὴς καθεσθεὶς ζώντων καὶ νεκρῶν εἰς αἰῶνα βασιλεύσει σὺν τῷ πατρί.

Ἵνα δὲ μὴ καὶ τὸ κύριος ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, ἐμποιῇ λογισμοὺς τοῖς διεφθορόσι τὴν διάνοιαν, οὐδὲ τοῦτο παριτέον· οἱ γὰρ ἑρμηνεῖς βραχύ τι τῆς ἑβραΐδος ἀκριβείας τῶν γραφῶν εἰς τὴν ἑλληνίδα παρεξαπέντες εἶπον μὲν ἔκτισέ με· εὕροις δ' ἂν ἐρευνήσας, ἐποίησέ με· ὅμως δὲ καὶ τὸ ἔκτισέ με ἀκριβῶς νοούμενον, οὐδὲν ἀπᾷδον τοῦ ἐποίησέ με δείκνυται· εἰ γὰρ κύριος ἔκτισέ με εἰρήκει μόνον, ζήτημά τισι καταλέλοιπεν· ἐπεὶ δὲ προσέθηκεν ἀρχὴν ὁδῶν αὐτοῦ εἰς ἔργα αὐτοῦ, σαφῶς ἂν νοοῖτο εἰρηκυῖα, κύριος ἐποίησέ με ἐπιτάττειν τῶν ἔργων αὐτοῦ, καὶ ἀρχὴν τῶν ὁδῶν αὐτοῦ ἐνεχείρισέ μοι· πότε γὰρ ἔσχεν ἀρχὴν ὁδῶν αὐτοῦ ὁ πατήρ; ἢ πότε οὐκ ἦν ἐνεργής; ἢ παρὰ τίνος τὸ δύνασθαι καὶ τὸ ἐνεργεῖν εἴληφε; τὸ γὰρ μὴ ἀεὶ τὰ πάντα ἔχειν παρ' ἑαυτῷ, ἐμφαντικόν ἐστι τοῦ παρ' ἄλλου τινὸς εἰληφέναι, ὡς ἕτερόν τινα θεὸν πρεσβύτερον αὐτοῦ νοεῖσθαι· τίς δὲ προέδωκε καὶ ἀνταποδοθήσεται αὐτῷ, φησὶν ἡ γραφή; εἰ δὲ παρ' αὐτοῦ τὰ πάντα, οὐδέ ποτε ἄρα ἀρχὴ ὁδῶν αὐτοῦ καὶ ἔργων αὐτοῦ εὑρεθήσεται, ἀλλ' ἀεὶ ἐνεργής· εἰ δὲ πάντα διὰ τοῦ υἱοῦ γέγονε, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν, ἀεὶ ἄρα τὴν ἐργαζομένην σοφίαν παρ' ἑαυτῷ ἔχειν ἀναφανδὸν δείκνυται· εἰ δὲ ἀεὶ ἐργάζεται ὁ πατὴρ, χωρὶς δὲ τοῦ υἱοῦ οὐδὲν εἴργασται, μήπως τὸ ἐκτίσθαι ὑπειλήφασιν, ὕστερόν ποτε δεδημιουργῆσθαι ἵνα ἐργάζηται· ἀλλὰ τὸ ἔκτισέ με ἀρχὴν ὁδῶν αὐτοῦ, σημαίνει ὅτι ἐνεχείρισέ μοι τὰς ὁδοὺς, ἵν' ὦσιν ὑπὸ τὴν ἐμὴν ἀρχήν· ἀρχὴν γὰρ οὐ χρονικὴν λέγει, ἀλλὰ τὴν κρατητικήν· καὶ γὰρ καὶ οἱ ἀπόστολοί φασι ὅτι καὶ κύριον καὶ Χριστὸν αὐτὸν ἐποίησεν· εἰ δὲ τὸ ἐποίησε, ποίημα καὶ κτίσμα ὀνομάζοιτο, δύο ἂν εἶεν τινὲς οὓς ἐποίησεν, ἕτερον μὲν κύριον,

ἕτερον ἢ Χριστόν· Χριστὸς ἢ ὅτι βασιλεὺς προσαγορεύεται, οὐδενὶ τοῦτο ἄγνωστον· ἀλλὰ τὸ ἐποίησε σημαίνει δύο ἀρχὰς ἐγκεχειρίσθαι αὐτῷ παρὰ τοῦ πατρὸς, τὴν μὲν κυριακὴν, τὴν δὲ βασιλικήν· μᾶλλον δὲ μίαν ἀρχὴν δυσὶ προσηγορίαις γεραιρομένην πλείοσιν. Ἑκάτεροι τοίνυν πεπείσθωσαν οἱ ταῖς ἑκατέραις ἐνειλημμένοι πλάναις, ὡς ἀεὶ σὺν τῷ πατρὶ ὁ υἱὸς γεννητὸς, ἅμα καὶ ἀνάρχός ἐστιν· ἄναρχος μὲν τῷ ἀεὶ συνεῖναι τῷ πατρὶ, γεννητὸς δὲ τῷ τὸν πατέρα ἐσχηκέναι τοῦ εἶναι, ὡς ἔφημεν ἐπὶ τοῦ λύχνου εἰπόντες ὅτι αἴτιος μὲν αὐτὸς τοῦ φέγγους, οὐ μέντοι πρότερον τοῦ φέγγους, ἀλλ' ὁμόχρονος τυγχάνει· οὕτως καὶ εἰς τὸν αἰῶνα ἔσται, καὶ οὐδέποτε παύσεται βασιλεύων· ἐπειδήπερ οὐδὲ ἤρξατο, ἀλλ' ἀεὶ συνηργηκὼς τῷ πατρὶ ἑαυτὸν συνεμφαίνει, διὰ τοῦ εἰρηκέναι, ὁ πατήρ μου ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· ἐπιζητεῖ δὲ τὸ ἕως ἄρτι, τὸ ἀφ' οὗ· ἐπειδὴ τὸ ἀφ' οὗ, ἐν χρόνῳ τυγχάνει, πάντως τὸ ἀφ' οὗ, τὸ ἕως ἄρτι μόνον εἰπὼν, ἐνέφηνεν ἀεὶ τὰ πάντα αὐτῷ συνηργηκέναι· ἐργάζεται γὰρ ἕως ἄρτι φύων, ζωογονῶν, αὔξων, πάντα ἡνιοχῶν· καὶ οὐδέ ποτε παύσεται· οὐ γὰρ ἁρμόσει θεῷ τὸ ἀργεῖν, οὐδ' ἀποκαμεῖται ἐργαζόμενος ἵνα παύσηται.

Οἶμαι μὲν οὖν τοὺς ἀρειοπλανεῖς ὥσπερ συνηγορίᾳ κεχρῆσθαι τῇ εὐαγγελικῇ φωνῇ λεγούσῃ· ὁ πέμψας με μείζων μου ἐστὶ, ἀφ' οὗ κτίσμα καὶ ποίημα αὐτὸν ὑπειλήφασι· καὶ τὸ ἀντειπεῖν τῷ προσαγορεύσαντι διδάσκαλον ἀγαθὸν, οὐδεὶς ἀγαθὸς εἰ μὴ εἷς ὁ Θεὸς, ὑπόνοιαν ἐμπεποιηκέναι αὐτοῖς ἄνθρωπον ὄντα, καταχρηστικὴν προσηγορίαν ἐσχηκέναι τὸν υἱόν. Καὶ τὸ, οὐδεὶς οἶδε τὴν συντελεστικὴν ἡμέραν καὶ τὴν ὥραν, οὐδ' οἱ ἄγγελοι τῶν οὐρανῶν, οὐδὲ ὁ υἱός, ἐν τοῖς κατὰ Μάρκον εἰρημένοις, εἰ μὴ ὁ πατὴρ μόνος, ἀλλότριον τῆς πατρικῆς οὐσίας γεγονέναι τὸν υἱὸν ὑπόνοιαν αὐτοῖς ἐμποιεῖν οἴομαι. Οἱ δὲ κατὰ Σαβέλλιον, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν· καὶ ὁ ἐμὲ ἑωρακὼς, ἑώρακε τὸν πατέρα· καὶ τὸ, ὅτε παραδιδῷ τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ, οὐ μετ' ἀκριβείας κρίσεως ἀνεγνωκότες, εἰς τὴν μεγίστην τῆς ἀσεβείας ἐκπεπτώκασι πλάνην, οἰόμενοι διὰ μὲν λειποταξίαν ἀνθρωπείνην προεληλυθέναι τὸν υἱὸν ἐκ τοῦ πατρὸς προσκαίρως· αὖθις δὲ μετὰ τὴν διόρθωσιν τῶν ἀνθρωπίνων πλημμελημάτων ἀναλελυκότα ἐνδύναι τε καὶ ἀναμεμίχθαι τῷ πατρί. Οὐκ ἀνέγνωκας, ὦ σαβελλιόφρων, καὶ τόδε τὸ χωρίον τῆς ἀποστολικῆς γραφῆς ὃ ἀντιστατεῖ σου τῇ δοκήσει; φησὶ γὰρ μεθ' ἕτερα· κατὰ τὴν ἐνέργειαν τοῦ κράτους τῆς ἰσχύος αὐτοῦ, ἣν ἐνήργηκεν ἐν τῷ Χριστῷ, ἐγείρας αὐτὸν ἐκ νεκρῶν, καὶ καθίσας ἐν δεξιᾷ αὐτοῦ ἐν τοῖς ἐπουρανίοις ὑπεράνω πάσης ἀρχῆς καὶ ἐξουσίας καὶ δυνάμεως καὶ κυριότητος καὶ παντὸς ὀνομαζομένου, οὐ μόνον ἐν τῷ αἰῶνι τούτῳ, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι. Οὐδ' ἡ εὐαγγελικὴ φωνή σε πείθει οὐ πρόσκαιρον εἶναι τὸν υἱὸν, ἀλλ' ὅτι καὶ ἡ ἐν τῷ μέλλοντι αἰῶνι κατὰ πάντων δίκη ἐγκεχείρισται τῷ υἱῷ; ὁ γὰρ πατὴρ, φησὶ, κρίνει οὐδένα· τὴν δὲ κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ, ἵνα τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα· καὶ ἑτέρωθί που ὁ ἀπόστολος ἐν τῇ ἀποκαλύ-

ψει τοῦ κυρίου Ἰησοῦ φησί· ἀπ' οὐρανοῦ μετ' ἀγγέλων δυνάμεως αὐτοῦ, ἐν φλογὶ πυρὸς, διδοὺς ἐκδίκησιν τοῖς μὴ εἰδόσι θεὸν καὶ τοῖς μὴ ὑπακούουσι τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ὅρα πῶς οἱ μὴ ὑπακούοντες δίκην τίσουσι, φησὶ, ὄλεθρον αἰώνιον, ὅταν ἔλθῃ ἐνδοξασθῆναι ἐν τοῖς ἁγίοις αὐτοῦ· τίσουσι δὲ τῷ υἱῷ, ὃν σὺ μηκέτι εἶναι ὑπείληφας.

Εἰ δὲ βούλει γνῶναι ὅτι ποτέ ἐστι τὸ ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ, οὐκ ἀποκρυπτέον σοι, εἰ καὶ δυσεπίδεκτος τῆς ἀληθείας τετύχηκας· καί μοι δοκεῖ ἀνθιστάναι τῷ παρὰ τοῦ Χριστοῦ προστάγματι, μὴ βάλετε τοὺς μαργαρίτας ὑμῶν ἔμπροσθεν τῶν χοίρων· ἀλλὰ θεὸν μιμησάμενος, ἐλπίδων μεθέξω καλῶν, οὐδὲ τοῖς δυσσεβέσιν ἀποκρύψας τὴν ἀλήθειαν· βρέχει γὰρ ὁμοίως, καὶ τὸ φῶς τῆς ἡμέρας ἴσον ἐκτέταται δικαίοις καὶ ἀδίκοις· εἶθ' οὕτω φιλανθρωπούμενος οὐ πεύσῃ τῆς ἀληθείας; οὐχ ὑφέξεις τὰς τοῦ νοῦ ἀκοὰς, ἵνα πεισθῇς μηδοτιοῦν πρὸς ἕτερόν τι τῶν ἐν ταῖς γραφαῖς εἰρημένων ἐναντίωσιν εἶναι, ἀλλὰ συνῳδὸν καὶ σύμφωνον τὸ πᾶν τῷ παντὶ τυγχάνειν; διόπερ οὐ νοητέον κατὰ τὴν σὴν ὑπόληψιν τὸ τότε ὑποταγήσεται αὐτὸς τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα· καὶ ὅταν παραδιδῷ τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ· εἰ γὰρ κατὰ πάντα ὡμοίωτο τῇ ἀνθρωπότητι, καὶ συνεπάθησε κατὰ τὸν προφήτην, αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ αὐτὸς τὰς ἀσθενείας ἡμῶν ἔλαβε καὶ τὰς νόσους ἐβάστασε, ἐπεὶ καὶ τὴν δεκτικὴν τούτων σάρκα περιβέβληται, καὶ ὑπὲρ ἡμῶν φησὶν ἁμαρτίαν ἐποίησεν οὐ πεποικὼς ἀλλ' ὡς πεποιηκὼς, ἵν' ἡμεῖς δικαιωθῶμεν· καὶ γενόμενος ὑπὲρ ἡμῶν κατάρα, ἵνα τῆς κατάρας ἡμᾶς ἐξαγοράσῃ· καὶ ἐπικατάρατος ὠνόμασται, τῇ συμπαθείᾳ συνωνυμῆσαι ἡμῖν ἑλόμενος. Εἰ ἐν πᾶσι τούτοις γενόμενος ὡμοιώθη τῇ ἀνθρωπότητι, αὐτὴν τὴν μορφὴν τοῦ δούλου ἀναλαβὼν, ὡς αὐτὸς ἠνομηκὼς, ὑπὲρ τῆς ἀνθρωπότητος τὸ ἴδιον πρόσωπον προβαλλόμενος ἐνέτρεπε, τὸν πατέρα πρὸς ἔλεος ἐπικαλῶν· καὶ ὡς οὐχ ὑποτέτακτο τῷ υἱῷ πᾶσα ἡ ἀνθρωπότης, καὶ αὐτὸς ὢν μὲν ὑποτεταγμένος ἐδόκει τε καὶ διείληπτο, τὴν ἀνυποταξίαν τοῦ λαοῦ ἐν ὄψει τοῦ πατρὸς ἐπιγραφόμενος· εἰ δέ ποτε πάνθ' ὑποταχθείη τῷ υἱῷ, νῦν γὰρ οὐδέπως ὁρῶμεν πάνθ' ὑποτεταγμένα αὐτῷ, ἐρεῖ πάνθ' ὑποτέτακταί μοι· πάντων δὲ αὐτῷ ὑποταγέντων, τότε αὐτὸς φανήσεται ὑποτεταγμένος τῷ ὑποταχότι αὐτῷ τὰ πάντα· εἰ γὰρ πάντες ἡμεῖς εἴημεν Χριστοῦ καὶ Χριστὸς θεοῦ ἂν ᾖ τε καὶ ὑποταχθείη· εἰ δ' ἡμεῖς μήπω Χριστοῦ, οὐδέπω καὶ Χριστὸς θεοῦ, ὁ δι' ἡμᾶς ὀδυνώμενος· ὅταν οὖν πάντες Χριστοῦ γενώμεθα, τότε ἔσται καὶ Χριστὸς θεοῦ, δι' ἑαυτοῦ τοὺς πάντας ὑποτάττων τῷ πατρὶ οὓς πρότερον παρ' αὐτοῦ εἰλήφει, ἵνα ᾖ ὁ θεὸς τὰ πάντα ἐν πᾶσιν· ἐπεὶ δὲ δοκεῖ πως μὴ ὑποτετάχθαι τῷ πατρὶ τῶν ἐγγυημένων ὑπ' αὐτοῦ, καὶ ὧν τὴν εἰκόνα φέρει μηδέπω ὑποτεταγμένων αὐτῷ, ὁπότε δὲ ὑποταχθείη αὐτῷ τὰ πάντα, τότε φανήσεται παραδιδοὺς τὴν βασιλείαν τῷ πατρὶ καὶ θεῷ· βασιλείαν δὲ νοητέον οὐ τὸ ἀξίωμα τῆς σκηπτουχίας, οὐδὲ γὰρ ἔτι δεῖται ἀξιώματος βασιλικοῦ

ὁ πατὴρ ἵνα παραλάβῃ τὴν υἱοῦ ὁ πρότερον ὡς εἰς χρῆσιν αὐτῷ συγκεχωρηκὼς ἐτύγχανε τοῦτο ἀνακαλούμενος· τοιοῦτο γὰρ αἰνίττεσθαί μοι δοκεῖς· ἔτι μὲν ἀσεβεῖς οὐ μόνον εἰς τὸν υἱὸν ἀναιρῶν αὐτοῦ τὴν ὑπόστασιν ἀλλὰ καὶ εἰς τὸν πατέρα ἀποφαίνων αὐτὸν οὐκ ὄντα βασιλέα ποτὲ συγκεχωρηκότα τῷ υἱῷ τὴν βασιλείαν, εἶτα ἀποληψόμενον παρ' αὐτοῦ ὡς δεόμενον τοῦ ἀξιώματος· παραδώσει γὰρ αὐτῷ οὐ τὸ ἀξίωμα, ως προέφημεν, τῆς βασιλείας ἀλλὰ τοὺς βασιλευθέντας ἀπ' αὐτοῦ καὶ ὑποταγέντας αὐτῷ· ταύτην τὴν βασιλείαν προσενηνοχὼς καὶ παραδεδωκώς, ἐρεῖ· τοῦτο βασίλειον, τοῦτο ἱεράτευμα, ἔθνος ἅγιον, λαὸς εἰς περιποίησίν μοι· καὶ ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ θεός· αὐτὸς γὰρ ἔδωκεν αὐτῷ, ὑποτάξας αὐτῷ πάντα τὰ ἔθνη· δώσω γάρ σοι ἔθνη τὴν κληρονομίαν σοι καὶ τὴν κατάσχεσίν σου τὰ πέρατα τῆς γῆς.

Ἴσθι δὲ καὶ τό, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, μὴ ἀναιρεῖν τὴν ὑπόστασιν τοῦ υἱοῦ· ἓν γάρ εἰσι τὴν οὐσίαν, ἓν τὸ ἀξίωμα, ἓν εἰσι τὴν γνώμην, ἓν εἰσι τὴν φρόνησιν, οὐχ ἓν δὲ τὴν ὑπόστασιν· δειχθήσεται δὲ καὶ ἐκ τοῦ ἀποστόλου ὅτι τὸ ἓν οὐκ ἔστι μιᾶς καὶ τῆς αὐτῆς ὑποστάσεως, ὡς πολλάκις τάττεται, ὡς ἐπὶ τοῦ φυτεύοντος καὶ τοῦ ποτίζοντος· τὸ δ' ἐπιμεριζόμενον ὄνομα διαιρεῖ τὴν ὑπόστασιν· ἕκαστος γὰρ τὸν ἴδιον μισθὸν λήψεται κατὰ τὸν ἴδιον κόπον· οὕτως τὸ ἓν οὐκ ἀναιρετικὸν τῆς ἑτέρας ὑποστάσεως ὑπάρχον νενοήσθω· μηδετέρως τοίνυν τούτων ἀπᾴδειν ἀλλήλοις ἀποδεδειγμένων, ἀλλὰ συμπεφωνηκότων πρὸς τὴν εὐθεῖαν πίστιν, πέπαυσο τὰ Σαβελλίου φρονῶν· ἔκκλινον ἀπὸ κακοφροσύνης, καὶ ποίησον ἀγαθὸν τῇ ἀληθείᾳ πειθόμενος· ἱκανά σοι καὶ ταῦτα μόνα πρὸς ἀπόδειξιν τοῦ φαῦλα φρονεῖν.

Ἴσθι μοι καὶ σὺ ἀρειομανίτην Ἀχίλλιαν, πίστιν δὲ δυστυχηκώς τί ποτε καταλιπὼν τὴν εὐθεῖαν ὁδὸν κατὰ τῶν τῆς ἀτιμίας τοῦ υἱοῦ βαράθρων ἐλήλακας, ποίημα αὐτὸν καὶ ἀλλότριον τῆς τοῦ θεοῦ οὐσίας ὑποτοπήσας; οὐχ ἱκανά σοι πρὸς ἀπόδειξιν τοῦ γεγεννῆσθαι ἐκ τοῦ πατρὸς καὶ μόνα τὰ ὀνόματα ὅτι σοφία καὶ δύναμις θεοῦ προσηγόρευται; σοφία καὶ δύναμις ὅτι ἀχειροποίητοι μὲν καὶ ἀκατασκεύαστοι οὖσαι. ἀρεταὶ δὲ ψυχῆς καὶ ὥσπερ ἀποφοραὶ νοῦ ὑπερριζωμένου τῇ τῆς σοφίας βλάστῃ. πάντως ἂν συνεπινεύσειας· εἰ δ' ἔκτισαι καὶ κατεσκεύασαι ἡ σοφία, ἐν τίνι χρόνῳ, ὡς ἔφης. ἡ παντὸς χρόνου καὶ δημιουργήματος πρεσβυτάτη, τουτέστιν ὁ υἱός; ὅρα μή μοι δοκοίης ἀπᾴδον σου τῆς οἰήσεως ἀποφαίνων τό, χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ἢ εἰ ταύτην ἐκτίσθαι φαίης, καὶ τοῦτο ἡμῖν ἀναφανδὸν δεῖξαι πεπείρασο ὡς ἑτέρα τις ἂν εἴη σοφία ταύτης πρεσβυτέρα, δι' ἧς ἡ δευτέρα κατεσκεύασται· ἄνευ γὰρ σοφίας ἀδύνατον κατασκευασθῆναί τι· διὰ τοῦτο παρὰ τῷ πατρὶ ἡ σοφία καὶ πρωτότοκος πάσης κτίσεως, ἵνα δι' αὐτῆς τὰ πάντα κατασκευασθῇ· καὶ λόγος δὲ προσηγόρευται ὁ υἱὸς ἵνα γεννητὸς ἀποδειχθῇ, καὶ μὴ κτιστὸς ὑποληφθῇ. λόγος γὰρ τίκτεται, ἀλλ' οὐ κτίζεται, διὰ στόματος μὲν προφερόμενος, ἐκ καρ-

δίας δὲ κινούμενος· ὁ πατὴρ μαρτυρεῖ μοι λέγων· ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν· συνομολογεῖ καὶ ὁ υἱός· ἐγὼ ἐκ στόματος ὑψίστου ἐξῆλθον· πῶς ἤνεγκέ σου ἡ διάνοια τὸ τηλικοῦτον ἄχθος τοῦ τολμήματος, ποίημα αὐτὸν ὑπειληφυῖα;

Ἀκήκοας τῶν προειληφότων περὶ τοῦ υἱοῦ· ἄκουε δὴ καὶ τοῦ νῦν ἐπελθόντος· ὡς τὸ μὲν ἐν παρατατικῷ χρόνῳ κείμενον ἀϊδιότητος ἔχει τὴν σημασίαν· ἐν ἀρχῇ ἦν ὁ λόγος· ἀρχὴ δὲ θεοῦ ἀνθρωπείνῳ λόγῳ οὐ κατείληπται· διὰ τοῦτο δὴ ὡς ἐν τοῖς ἔμπροσθεν εἰρήκαμεν, ὅ δή ποτε μέρος λόγου τέθεικεν ἡ γραφή· τὸ ἐν ἀρχῇ, νόει μοι ἀρχὴν θεϊκὴν ἀΐδιον οὖσαν· ταυτοῦ δή ποθεν σημαντικὴν καὶ τὸ ἦν· τὸ δὲ ὁ λόγος τὴν ὁμοούσιον ὑπόστασιν πρὸς τὸν πατέρα δείκνυσι· ἵνα δὲ μὴ δοκῶμεν τὸν υἱὸν εἶναί ποτε ὅτε ἀφανὴς ἦν ἐν τῷ πατρὶ κρυπτόμενος, καὶ ἵνα μὴ προφορικὸν λόγον καὶ ἐνδιάθετον ὑπολαμβάνωμεν· τὸν γὰρ τοῦτον λόγον ἔν τινι εἶναι χρὴ ἐννοίᾳ ἢ ἐν γράμματι καθ' ἑαυτὸν ὑπόστασιν οὐκ ἔχοντα; διὰ ταῦτα εἴρηκε καὶ ὁ Ἰωάννης, καὶ ὁ λόγος ἦν οὐκ ἐν τῷ θεῷ ἀλλὰ πρὸς τὸν θεόν, ἰδίαν ὑπόστασιν ἐπιγράφων τῷ λέγω ἐκ πατρικῆς οὐσίας ὑφεστῶσαν· κατὰ τὸν αὐτὸν τρόπον καὶ ἵνα μὴ νοοῖτο σοφία ἡ τεχνιτευτική, ἡ τὸ εἶναι ἔν τινι ἔχουσα ἢ ἐν ἀνδρὶ ἢ ἐν κατασκευάσματι, εἴρηκεν ἦν πρὸς τὸν θεόν, ἵνα νοηθῇ θεὸς ἐκ θεοῦ ὑπάρχων· πρὸς δέ, καὶ τὴν προσηγορίαν εἴληχε· καὶ θεὸς ἦν ὁ λόγος· θεὸς δὲ ὅτι ἀρχὴν οὐκ ἂν ἔχοι, ἐπεὶ οὐκ ἂν εἴη θεός, ὅπερ οὐ μόνον ἡμεῖς ἀλλὰ καὶ φιλοσόφων παῖδες θεσπίζουσιν, ὧν οὐ προσῆκέ σε ἥττονα τὴν περὶ θεοῦ κεκτῆσθαι γνῶσιν. Ἵνα δὲ πιστεύωμεν αὐτὸν ὑφεστάναι θεόν, αὐτὸν ὄντα ἐξ ἑαυτοῦ, ἐμόρφωσεν αὐτὸν ἀνθρωπίνως ὁ πατήρ, σαρκὶ αὐτὸν περιγράψας, ἵνα ἀνθρωπίναις ὄψεσιν ἐμφανίσῃ υἱόν, καὶ θεὸν ὄντα εἰδὼς ὑφεστάναι.

Μή μοι φαντασθῇς εὐτελέστερον ἢ μικρότερον τὸν υἱὸν τῷ εἰρηκέναι, ὁ πέμψας με πατὴρ μείζων μου ἐστίν· ἔδει γὰρ αὐτὸν ἐνανθρωποῦντα ταπεινόφροσι λόγοις ἐμφαίνειν τὸ ἑαυτοῦ μέγεθος· αὐτὸς εἴρηκε· ἐπαινείτω σε ὁ πέλας καὶ μὴ τὸ σὸν στόμα· τί γὰρ οὐκ ἔδει ταπεινοφρονοῦντα ἥττονα τοῦ πατρὸς ἑαυτὸν ἀποδεικνύναι τοῦ ἀπεριγράπτου καὶ τὰ πάντα πληροῦντος, τὸν τέως σαρκὶ περιγραφόμενον καὶ ὄψεσιν ἀνθρωπίναις μετρούμενον; οὐ μὴν ἀλλὰ καὶ τὸ τὸν αἴτιον τοῦ εἶναι μείζονα ἑαυτοῦ ἀποκαλεῖν, οὐκ ἀλλότριον ἀληθείας· εἰ μὴ γὰρ θεός, ποῦ ἡ σοφία; καὶ εἰ μὴ ὁ πατήρ, ποῦ ὁ υἱός; ὅρα δή μοι πάντη καὶ πάντως τὸν υἱὸν ταπεινοφρονοῦντα, καὶ τὸ θεϊκὸν μέγεθος ἅμα ἐνδεικνύμενον πρῶτον, ὅταν λέγῃ πρὸς τὸν νεανίσκον ἀγαθὸν αὐτὸν προσαγορεύσαντα· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθός, εἰ μὴ εἷς ὁ θεός· καὶ εἰκότως γε τοῦτο ἀπεφήνατο· ὡς γὰρ ἄνθρωπός σοι πέφηνα εἴποι ἄν, ὦ νεανία, σὺ δὲ ὡς ἕνα τῶν γραμματέων διδάσκαλόν με προσειπών, προσέθηκας τὸ ἀγαθόν· οὐδεὶς δὲ ἀνθρώπων ἀγαθός, μόνῳ δὲ θεῷ οἰκειοῦται ἡ προσηγορία· μάτην ἄρα ὠνόμα-

σαι ἀγαθὸν τὸν τέως ἄνθρωπόν σοι πεφηνότα· οὕτω γοῦν ἀποφηνάμενος, τὴν μὲν ταπεινοφροσύνην τῷ ἀνδρὶ ἐνεδείξατο εἰπών· οὐδεὶς ἀγαθὸς ὃν ὑπείληφας σύ· τὸ δὲ εἰ μὴ εἷς ὁ Θεὸς προσθεὶς, αὐτὸς δὲ καὶ πατὴρ ἓν εἰσι, μυστικῶς ἄρα μετὰ ταπεινοφροσύνης τὴν ἀλήθειαν διεξεληλυθὼς, συμμέτοχον τῷ πατρὶ τῆς ἀγαθότητος ἀπεδείκνυε· τὸ οὖν ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν, καὶ τὸ ἐγὼ ἐν τῷ πατρὶ καὶ ὁ πατὴρ ἐν ἐμοὶ, ἴσον ἀποδείκνυσι τῷ πατρί· δεῖ γὰρ εἶναι τέλειον ἐκ τοῦ τελείου πατρὸς τὸν υἱόν.

Ἀλλ' ἴσως καὶ τοῦτ' ἂν εἴποις· εἰ ὁ πατὴρ τέλειος ὢν τὰ πάντα πληροῖ, ποῖον ὑπολείπεται τῷ υἱῷ τελείῳ ὄντι εἰς τὸ χωρῆσαι; ἀλλὰ ἀλλήλων φημὶ γεγονέναι δεκτικοὺς καὶ χωρητικούς· ἐγὼ γάρ φησιν ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστιν· οἱ δὲ ἀλλήλους χωροῦντες, ἴσοι ἂν εἶεν ἀλλήλοις τὸ μέγεθος, πῶς οὖν ἐν ἀλλήλοις γένοιντ' ἂν πάντως ἀκοῦσαι προήρησαι· δεῖ γὰρ τὸ ἕτερον περιέχεσθαι ὑπὸ τοῦ ἑτέρου· τὸ γοῦν περιεχόμενον ἐν τῷ περιέχοντι· τὸ δὲ περιέχον οὐκ ἂν περιέχοιτο πάλιν ὑπὸ τοῦ περιεχομένου· μὴ οἷον κατὰ θεὸν κένωμά τε ἔχειν ἐν ἑαυτῷ ᾧ ὑποδέδεκται τὸ περιεχόμενον. Ἐπὶ γὰρ ἀνθρώπων τοῦτο νομιστέον· οὔτε γὰρ ἑτέρων χωρητικοὶ τυγχάνομεν, οὐδ' αὖ χωροῦμεν εἰς ἕτερον· εἰ δὲ καὶ χωροίημεν, κενώματι περιέξομέν τε καὶ περιληφθησόμεθα· ἐπὶ Θεοῦ δὲ τοιόνδε τι νοητέον· ὥσπερ ἀνθρώπου ψυχῇ δύο ἐπιστῆμαι ἢ πλείους συνελθοῦσαι ὁμοῦ τυγχάνοι, ἰατρικὴ καὶ φιλοσοφικὴ καὶ ὅσαι ἄλλαι ὑπ' ἀλλήλων οὐ στενοχωροῦνται ἐν τῷ καὶ ψυχῆς χώρῳ, αἱ πολλαὶ κατὰ ἀριθμὸν εὐρυχωρούμεναι καὶ ἀλλήλαις ἐνδιδοῖαι τὸ πᾶν, καίτοιγε πληροῦσαι τὴν ψυχὴν καὶ μὴ ὑπεξιοῦσαι ἑτέρα τῆς ἑτέρας, ὡς μίαν οὐσίας φαντασίαν παρέχειν τοῖς σκεπτικωτάτοις τῶν ἀνδρῶν, ἐπεὶ καθ' ἑνὸς καὶ ταυτοῦ ἵδρυνται νοῦ, διενηνόχασιν ἀλλήλων, καθότι ἄλλον μὲν ἰατρική. ἕτερον δὲ φιλοσοφική, οὕτω δὴ καὶ ὁ πατὴρ καὶ ὁ υἱὸς κατὰ τὸν αὐτοῦ κεχωρηκότες τόπον, καὶ ἀλλήλων δεκτικοὶ γεγονότες, καὶ ἓν ὄντες, ὡς μικροῦ πρόσθεν ἔφημεν. μόνῃ ὑποστάσει καὶ προσηγορίᾳ θάτερος θατέρου διενήνοχεν. ἐν ἀλλήλοις δὲ τυγχάνουσιν ὄντες· καὶ ὥσπερ μύρου ὀδωδὴ ἀέρι ἐνδιαχυθεῖσα κατὰ τοῦ αὐτοῦ χωρίου τ' ἀμφότερα τυγχάνοντα τῷ δοκεῖν μὲν συνδιακέχυται, κατ' ἀλήθειαν δ' εὑρήσεις ἕτερον μὲν τὸν ἀέρα, ἄλλο δὲ τὴν ὀδωδήν· ἤδη δὲ καὶ φῶς τὸ ἐξ ἡλίου. καὶ πνοαὶ τῶν ἀνέμων. ἀλλήλων διαπεφυκότα, καὶ τῷ δοκεῖν ἀναμεμιγμένα, πολλὴν ἔχουσι τὴν διαφοράν· φῶς γὰρ καὶ ἄνεμοι οὐχ ἥκιστα διεστήκασιν ἀλλήλων· τούτοις ἀπείκασε τὴν θεότητα καὶ μεῖζόν τι τῆς διὰ λόγου ἀποδείξεως διανοηθεὶς, εὕροις ἂν ὄντας ἑκατέρους ἓν κατ' οὐσίαν καὶ ὁμοφροσύνην καὶ τὸ ἓν εἰς πατέρα καὶ υἱὸν, καθάπερ προείρημεν, ὑποστάσει καὶ προσηγορίᾳ διαπ . . μένον.

Πάντως ἄρα κινήσεις μοι καὶ τοῦτο· εἰ τὰ πάντα πεπλήρωκεν ὁ πατὴρ, αὖθις δὲ καὶ ὁ υἱὸς, ποῖος ὑπολείπεται τόπος τῇ ἀντικειμένῃ δυνάμει; μεθ' ἑαυτοῦ γὰρ ἔχειν τὸ ἐναντίον, οὐκ ἂν ἁρμόζοι θεῷ· εἰ δ' ὅπῃ τυγχάνοι καὶ ὁ τῆς κακίας ἄρχων,

μὴ καὶ Θεὸς εἴη ἐνταυθοῖ περιγραπτὸς, ἄρα καὶ μερικὸς ἀποδειχθήσεται ὁ Θεός. Ἀλλὰ φημὶ ἔγω γε πανταχοῦ εἶναι, καὶ μὴ εἶναι ὅπου οὐκ ἔστι Θεὸς, εἰ καὶ ὁ τῆς κακίας ἄρχων τυγχάνοι που ὤν· οὐδὲ γὰρ αἱ τοῦ ἡλίου ἀκτῖνες κατὰ βορβόρων καὶ λύθρων φερόμεναι μολύνονται, ἀλλὰ μᾶλλον ἀφανιστικαὶ τυγχάνουσι καταξηραίνουσαι τῷ καύματι· οὕτω καὶ ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκων προσαγορεύεται, καὶ πῦρ ἐναντίον αὐτοῦ καυθήσεται· ἵνα τοῖς μὲν προσφιλέσι λύχνος καὶ φῶς ᾖ, τοῖς δὲ ἐχθροῖς πῦρ καταναλίσκον· φλογιεῖ γάρ φησι κύκλῳ τοὺς ἐχθροὺς αὐτοῦ· διὸ δὴ καὶ ὁ τῆς κακίας ἄρχων βουλόμενος διαφεύγειν τὰς πυρφόρους τοῦ θεοῦ βολὰς, πάντα τόπον διαθεῖ· πανταχοῦ δ' εὑρίσκων τὸν θεὸν, δίεισι πάσης ἀνθρωπότητος· εἶθ' εὑρίσκει τινὰς τῷ πνεύματι ζέοντας, ἀποφεύγει καὶ τὸ παρ' αὐτῶν καύσωνα· κατάδυσιν δ' εὑρὼν ἔν τινι μὴ ἔχοντι πνεῦμα θεοῦ, σεσαρωμένον καὶ κεκοσμημένον ἐπ' ὀλίγον ἀναπαεὶς συναναλωθήσεται τῷ ὑποδεδεγμένῳ· ὅμως γὰρ ἐχθρὸς ὀφθήσεται καὶ ὁ ὑποδεδεγμένος τὸν ἀνταίροντα τῷ Θεῷ φίλον ποιούμενος.

Ἱκανῶς οἶμαι πρὸς ἀπόδειξιν καὶ τούτοις ἐπεξιέναι· μὴ δὲ τοῦθ' ὑπολελείφθω μοι λεληθότι, ἢ καὶ τῇ πρὸς τὰ ἄλλα ὁρμῇ παρεκπλεύσαντι ὥσπερ βιαίᾳ συνωσθέντι πνοῇ· πῶς σὺν τοῖς ἅπασιν οὐδ' ὁ υἱὸς οἶδε τὴν ἡμέραν, ὁ ἐν ἑαυτῷ ἔχων τὸν πατέρα, καὶ αὐτὸς ὢν ἐν τῷ πατρί; Ἀλλὰ καὶ τοῦτο ταπεινοφροσύνης ὑπερβολὴν ἔμφασιν ἔχει· ἔδει γὰρ ὑπερβαλλόντως τὸν υἱὸν τοῦ Θεοῦ ταπεινοῦν ἑαυτὸν, ἐπεὶ καὶ τὴν ἄλλην πολιτείαν καθ' ὑπερβολὴν κάλλιστα διεδέξατο· εἰπὼν δὲ μὴ ἐγνωκέναι, τὸ μὲν ταπεινοφρονεῖν τοῖς ἀκροωμένοις ἐνέφηνεν· ἵνα δὲ μὴ δοκῇ ψευδὴς εἶναι, εἶπεν· εἰ μὴ ὁ πατὴρ οἶδε μόνος, τῷ μὲν λόγῳ ἀρνησάμενος εἰδέναι, τῇ δὲ δυνάμει τοῦ αἰνίγματος ὁμολογήσας· εἰδότος γὰρ μόνου τοῦ πατρὸς, οἶδεν ἄρα καὶ ὁ υἱὸς ἓν ὢν αὐτὸς καὶ ὁ πατήρ· δύο δὴ ἐκ τούτου κατορθώματα συμβέβηκε τῇ ἀνθρωπότητι, ὑπόθεσίς τε ταπεινοφροσύνης καὶ συντελείας ἄγνοια, δι' ἣν ὁ βίος συγκεκρότηται· τί δ' ἂν εἴη δυσεπιγνωστότερον ἢ ἡμέρα τῆς συντελείας, ἢ αὐτὸς ὁ Θεὸς καὶ πατήρ; εἰ δὲ τὸν πατέρα ἔγνω εἰπὼν, ἵνα γινώσκητέ με, καθὼς γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα, πῶς οὐκ ἂν ἔγνω τὴν ἡμέραν ἧσπερ καὶ δημιουργὸς αὐτὸς γέγονε; χωρὶς γὰρ αὐτοῦ ἐγένετο οὐδέν. Καὶ τοῦτο τοῖς βραχέσι τούτοις ἀποδεδειγμένος ὁ λόγος ὅπως ἔχει, μὴ ἐμποδών τινι γίγνοιτο πρὸς τὴν εὐθεῖαν πίστιν· ὑμεῖς οὖν οἱ κατὰ Σαβέλλιον τε καὶ Ἄρειον, οἱ ἐν τηλικαύτῃ διαφορᾷ γεγονότες πᾶσαν ἐπεγνωκότες ἐκ τῶν εἰρημένων τὴν ἀλήθειαν, συνίτε μοι πρὸς φιλίαν· καὶ εἰς τὸ μεταξὺ τοῖν ἀμφοῖν ἐληλυθότες παγίδοιν, εὑρήσετε τὴν τῆς ἀληθείας ὁδὸν· ἣν πορευθέντες, ὄψεσθε τὴν αἰώνιον ζωήν.

ΤΟΥ ΑΥΤΟΥ ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ

ΛΟΓΟΣ

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

ΚΑΤΑ ΜΑΚΕΔΟΝΙΑΝΩΝ ΤΩΝ ΠΝΕΥΜΑΤΟΜΑΧΩΝ.

Τάχα οὐδὲ ἀποκρίνασθαι προσήκει τοῖς ματαίοις τῶν λόγων· τὸ γὰρ σοφὸν τοῦ Σολομῶντος παράγγελμα πρὸς τοῦτο ἔοικε φέρειν τὸ διακελευόμενον μὴ ἀποκρίνεσθαι ἄφρονι κατὰ τὴν ἀφροσύνην αὐτοῦ· ἀλλ' ἐπειδὴ κίνδυνός ἐστι μὴ διὰ τῆς ἡμετέρας σιγῆς κατισχύσῃ τῆς ἀληθείας τὸ ψεῦδος, καὶ πολλὴν ἡ σηπεδονώδης αὕτη τῆς αἱρέσεως γάγγραινα νομὴν κατὰ τῆς ἀληθείας λαβοῦσα, τὸν ὑγιαίνοντα τῆς πίστεως λόγον διαλωβήσηται, ἀναγκαῖον ἐφάνη μοι μὴ κατὰ τὴν ἀφροσύνην αὐτῶν ἀποκρίνασθαι τῶν τὰ τοιαῦτα κατὰ τῆς εὐσεβείας προτεινομένων, ἀλλ' ἐπὶ διορθώσει τῶν μοχθηρῶν ὑπολήψεων· καὶ γὰρ τὸ παροιμιῶδες παράγγελμα δοκεῖ μοι μὴ σιγὰν ἀλλὰ διόρθωσιν τῶν ἀφραινόντων παρεγγυᾷν· ὡς δεῖν τὰς ἀποκρίσεις μὴ συνδρέχειν τῇ ἀφροσύνῃ τῶν ὑπολήψεων· ἀνατρέπειν δὲ μᾶλλον τὰς ἀνοήτους αὐτῶν καὶ ἠπατημένας περὶ τῶν δογμάτων δόξας.

Τί οὖν ἐστιν ὃ προφέρουσιν ἡμῖν; ἀσεβεῖν αἰτιῶνται καὶ περὶ τοῦ ἁγίου πνεύματος μεγαλοπρεπεῖς ἔχοντας ὑπολήψεις· καὶ ὅσα τοῖς τῶν πατέρων ἑπόμενοι δόγμασιν ὁμολογοῦμεν περὶ τοῦ πνεύματος. ταῦτα πρὸς τὸ δοκοῦν ἐκλαμβάνοντες, ἀφορμὴν ἑαυτοῖς παρέχουσι καθ' ἡμῶν εἰς ἀσέβειαν γραφήν· ἡμῶν γὰρ συντετάχθαι τῷ πατρὶ καὶ τῷ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον ὁμολογούντων, ὡς μηδεμίαν εἶναι παραλλαγὴν ἐν μηδενὶ τῶν εὐσεβῶς περὶ τὴν θείαν φύσιν νοουμένων τε καὶ ὀνομαζομένων, ἐκτὸς τοῦ καθ' ὑπόστασιν ἰδιάζοντος θεωρεῖσθαι, τὸ πνεῦμα τὸ ἅγιον ὅτι ἐκ τοῦ θεοῦ ἐστι, καὶ τοῦ Χριστοῦ ἐστι, καθὼς γέγραπται, οὔτε κατὰ τὸ ἀγέννητον τῷ πατρί, οὔτε κατὰ τὸ μονογενὲς τῷ υἱῷ συναναχεόμενον, ἀλλά τισιν ἐξαιρέτοις ἰδιώμασιν ἐφ' ἑαυτοῦ θεωρούμενον ἐν τοῖς ἄλλοις πᾶσι καθάπερ ἔφην τὸ . . . μένον καὶ ἀπαράλλακτον ἔχειν ὁμολογούντων, οἱ ὑπεναντίοι φασὶν ἀποξενοῦσθαι μὲν αὐτὸν πρὸς τὸν πατέρα καὶ τὸν υἱὸν τῆς φυσικῆς κοινωνίας, καὶ διὰ τὸ τῆς φύσεως διαλλάττον ὑποβεβηκέναι, καὶ ἠλαττῶσθαι τοῖς πᾶσιν ἐν δυνάμει καὶ δόξῃ καὶ ἀξιώματι καὶ πᾶσιν ἅπαξ τοῖς θεοπρεπῶς λεγομένοις ὀνόμασί τε καὶ νοήμασι· καὶ διὰ τοῦτο δόξης μὲν ἀμέτοχον, ἀνάξιον εἶναι τῆς πρὸς τὸν πατέρα καὶ υἱὸν ὁμοτιμίας φασί· δυνάμεως δὲ τοσοῦτον μετέχειν ὅσον ἐπαρκεῖ αὐτῷ πρὸς ἀποτεταγμένας τινὰς καὶ μερικὰς ἐνεργείας, τῆς δὲ δημιουργικῆς ἰσχύος ἔξω παντάπασι καθεστάναι.

Ταύτης δὲ κρατούσης παρ' αὐτοῖς τῆς ὑπολήψεως, ἐκ τοῦ ἀκολούθου κατασκευάζεται παρ' αὐτῶν τὸ μηδὲν ἔχειν ἐν ἑαυτῷ τὸ πνεῦμα τῶν περὶ τῆς θείας φύσεως εὐσεβῶς λεγομένων τε καὶ νοουμένων· τί οὖν ὁ ἡμέτερος λόγος; οὐδὲν καινὸν ἡμεῖς οὐδὲ παρ' ἡμῶν αὐτῶν τοῖς τὰ τοιαῦτα προκαλουμένοις ἀποκρινούμεθα, ἀλλὰ ἀποχρησόμεθα τῇ τῆς θείας γραφῆς περὶ τοῦ ἁγίου πνεύματος μαρτυρίᾳ, δι' ἧς θεῖον τὸ πνεῦμα τὸ ἅγιον εἶναί τε καὶ λέγεσθαι μεμαθήκαμεν· εἰ οὖν συντίθενται καὶ αὐτοὶ τούτῳ καὶ μὴ ἀντιβαίνουσι ταῖς θεοπνεύστοις φωναῖς, εἰπάτωσαν οἱ πρὸς τὸν καθ' ἡμῶν πόλεμον ἕτοιμοι, τίνος ἕνεκα οὐ πρὸς τὴν γραφὴν ἀλλὰ πρὸς ἡμᾶς διαμάχονται; οὐδὲ γὰρ ἡμεῖς ἄλλο τι παρὰ τοῦτο φαμέν· θείας δὲ φύσεως ὁμολογοῦντες οὐδεμίαν ἐπιγινώσκομεν οὔτε ἐκ τῆς τῶν γραφῶν διδασκαλίας οὔτε ἐκ τῶν κοινῶν ἐννοιῶν κατ' αὐτὸ τοῦτο διαφοράν· ὥστε μεμερίσθαι πρὸς ἑαυτὴν τὴν θείαν τε καὶ ὑπερέχουσαν φύσιν διά τινος ἐπιτάσεως ἢ ὑφέσεως. παρὰ τὸ πλεῖόν τε καὶ ἔλαττον αὐτὴν πρὸς ἑαυτὴν διαλλάττουσαν· ἐπειδὴ γὰρ ἁπλῆ καὶ μονοειδὴς καὶ ἀσύνθετος εἶναι πεπίστευται. καὶ οὐδεμία πλοκὴ καὶ σύνθεσις ἐξ ἀνομοίων περὶ αὐτὴν θεωρεῖται, διὰ τοῦτο ἐπειδὰν ἅπαξ θείαν φύσιν τῇ ψυχῇ ἐννοήσωμεν, τὸ ἐν παντὶ θεοπρεπεῖ νοήματι τέλειον διὰ τοῦ ὀνόματος τούτου συμπαραδεξάμεθα· τὸ γὰρ θεῖον ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν λόγῳ τὸ τέλειον ἔχει· εἰ δὲ ἐλλείποι τινὶ καὶ ὑστερεῖται κατά τι τῆς τελειότητος, κατὰ τὸ ἐλλεῖπον χωλεύσει καὶ ὁ τῆς θεότητος λόγος· ὡς μηκέτι θεῖον ἐν ἐκείνῳ τῷ μέρει ἢ εἶναι ἢ λέγεσθαι· πῶς γὰρ ἄν τις τῷ ἀτελεῖ καὶ ἐλλείποντι καὶ τῆς ἑτέρωθεν προσθήκης προσδεομένῳ τὴν προσηγορίαν ταύτην ἁρμόσειεν;

Καθάπερ καὶ διὰ τῶν σωματικῶν ὑποδειγμάτων ἔστι τὸν λόγον πιστώσασθαι· ἡ γὰρ τοῦ πυρὸς φύσις ἐπίσης πᾶσι τοῖς συμπληροῦσιν αὐτὴν μορίαν τὴν θερμαντικὴν αἴσθησιν τοῖς ἁπτομένοις παρέχεται· καὶ οὐ τὸ μέν τι τῆς φλογὸς ὑπερτεταμένην, τὸ δὲ ὑφειμένην ἔχει τὴν θερμασίαν· ἀλλ' ἕως ἂν ᾖ πῦρ, ὅλον διόλου τῇ ταυτότητι τῆς ἐνεργείας ἀδιάστατον πρὸς ἑαυτὸ τὴν ἕνωσιν ἔχει· εἰ δέ τι κατά τι μέρος καταψυχθείη, οὐκέτι πῦρ κατὰ τὸ κατεψυγμένον ὀνομασθήσεται, τῇ πρὸς τὸ ἐναντίον ὑπαλλαγῇ τῆς θερμαντικῆς ἐνεργείας συμμεταποιουμένου καὶ τοῦ ὀνόματος· ὡσαύτως καὶ τοῦ ὕδατος καὶ τοῦ ἀέρος καὶ πάντων τῶν στοιχειωδῶς ὑποβεβλημένων εἷς καὶ ὁ αὐτὸς ἐφ' ἑκάστου λόγος οὐ παραδεχόμενος πλεονασμὸν ἢ ἐλάττωσιν· οὔτε γὰρ τὸ ὕδωρ μᾶλλον ἢ ἔλαττον δύναται λέγεσθαι· ἕως γὰρ ἂν ἐπίσης ὑγρὸν ᾖ. καὶ ἡ προσηγορία τοῦ ὕδατος ἐπ' αὐτοῦ ἀληθεύεται· εἰ δὲ μεταποιηθείη πρὸς τὴν ἐναντίαν ποιότητα, συνηλλοιώθη πάντως ἐπ' αὐτοῦ καὶ τὸ ὄνομα· καὶ τοῦ ἀέρος τὸ μαλακόν τε καὶ ἀνωφερὲς καὶ κοῦφον ἐπίσης πᾶσι τοῖς μορίοις ἐνθεωρεῖται· τὸ δὲ πυκνὸν καὶ ἐμβριθὲς καὶ εἰς γῆν ῥέον διαφεύγει τὸ καὶ ἀὴρ ὀνομάζεσθαι· οὕτως καὶ ἡ θεία φύσις ἕως μὲν ἂν διὰ παντὸς τοῦ περὶ αὐτὴν ἀσεβῶς θεωρουμένου νοήματος τὸ τέλειον ἔχῃ, ἐπαληθεύει τὴν προσηγορίαν τῇ τοῦ ἀγαθοῦ τελειότητι· εἰ δὲ ὑποσπασθείη τί τῶν συντεινόντων εἰς τὸ τῆς

τελειότητος λόγον, ψεύσεται κατ' ἐκεῖνο τὸ μέρος τὸ τῆς θεότητος ὄνομα, καὶ οὐκ ἐφαρμόσει τῷ ὑποκειμένῳ· ἴσον γάρ, ἢ καὶ μᾶλλον ἐστὶ τὸ ἀδύνατον, ξηρῷ σώματι τὴν τοῦ ὕδατος ἐπωνυμίαν ἁρμόσαι· καὶ πῦρ προσαγορεῦσαι τὸ κατεψυγμένον ἐν τῇ ποιότητι· καὶ τὸ στερρὸν καὶ ἀντίτυπον ἀέρα εἰπεῖν, καὶ θεῖον ὀνομάσαι, ᾧ μὴ συνυπακούεται ἡ τῆς τελειότητος ἔννοια.

Εἰ οὖν ἀληθῶς καὶ οὐ μέχρις ὀνόματος θεῖον τὸ πνεῦμα τὸ ἅγιον ὑπὸ τῆς γραφῆς καὶ ὑπὸ τῶν πατέρων ἡμῶν προσηγόρευται, τίς ἔτι λόγος ἐστὶ τοῖς ἀντιστατοῦσι τῇ δόξῃ τοῦ πνεύματος; εἰ γὰρ θεῖον καὶ ἀγαθὸν πάντως καὶ δυνατὸν καὶ σοφὸν ἔνδοξόν τε καὶ ἀΐδιον, καὶ πάντα ὅσα τοῦ τοιούτου γένους ἐστὶν ὀνόματα πρὸς τὸ μεγαλοπρεπὲς τὰς ὑπολήψεις ἡμῶν ἐπαίροντα· ταῦτα οὐκ ἐκ μετουσίας ἔχειν ἡ ἁπλότης τοῦ ὑποκειμένου διαμαρτύρεται; ὡς ἄλλο μέν τι τῇ ἑαυτοῦ φύσει ὑπονοεῖν εἶναι, ἕτερον δέ τι γενέσθαι τῇ παρουσίᾳ τῶν εἰρημένων· ἴδια γὰρ ταῦτα τῶν σύνθετον εἰληχότων τὴν φύσιν· ἁπλοῦν δὲ τὸ πνεῦμα τὸ ἅγιον παρὰ πάντων ἐπίσης συνωμολόγηται· καὶ ὁ ἀντιλέγων οὐκ ἔστιν. Εἰ οὖν ἁπλοῦς ὁ τῆς φύσεως αὐτοῦ λόγος, οὐκ ἐπίκτητον ἔχει τὸ ἀγαθόν, ἀλλ' αὐτὸ ὅ τί ποτέ ἐστι, ἀγαθότης ἐστί, σοφία, δύναμις, ἁγιασμός, δικαιοσύνη, ἀϊδιότης, ἀφθαρσία, πάντα τὰ ὑψηλὰ τῶν ὀνομάτων καὶ ὑπεραίροντα· τὸ οὖν τοιοῦτο ἐκ ποίας διανοίας ἄδοξον εἶναι κατασκευάζουσιν οἱ μὴ φοβούμενοι τὸ χαλεπὸν τὸ κατὰ τοῦ πνεύματος βλασφημίας κατάκριμα; σαφῶς γὰρ τοῦτο προτείνουσι, τὸ μὴ δεῖν αὐτὸ δοξαστὸν εἶναι πιστεύειν· οὐκ οἶδα τὸ τῇ φύσει ἔνδοξον τίνι λογισμῷ μὴ ὁμολογεῖν ὅ ἐστι, λυσιτελὲς εἶναι κρίνοντες.

Οὐδὲ γὰρ ἐκεῖνο αὔταρκες εἰς ἀπολογίαν αὐτῶν, ὅτι ἐπειδὴ κατὰ τὴν τάξιν τρίτην ὑπὸ κυρίου τοῖς μαθηταῖς παραδίδοται, διὰ τοῦτο τῆς θεοπρεποῦς ἐννοίας ἀπηλλοτρίωται· ἐφ' ὧν γὰρ ἡ κατὰ τὸ ἀγαθὸν ἐνέργεια οὐδεμίαν ἐλάττωσιν ἢ παραλλαγὴν ἔχει, πῶς ἐστιν ἄλογον τὴν κατὰ τὸν ἀριθμὸν τάξιν ἐλαττώσεώς τινος τῆς κατὰ φύσιν παραλλαγῆς οἴεσθαι σημεῖον εἶναι; ὥσπερ ἂν εἴ τις ἐν τρισὶ λαμπάσι διῃρημένην βλέπων τὴν φλόγα, αἰτίαν δὲ τοῦ τρίτου φωτὸς ὑποθώμεθα εἶναι τὴν πρώτην φλόγα ἐκ διαδόσεως διὰ τοῦ μέσου τὸ ἄκρον ἐξάψασαν· ἔπειτα κατασκευάζοι πλεονάζειν ἐν τῇ πρώτῃ φλογὶ θερμασίαν· τὴν δὲ ἐφεξῆς ὑποβεβηκέναι καὶ πρὸς τὸ ἔλαττον ἔχειν τὴν παραλλαγήν· τὴν δὲ τρίτην μηδὲ πῦρ ἔτι λέγεσθαι, κἂν παραπλησίως καίῃ καὶ φαίνῃ καὶ πάντα τὰ τοῦ πυρὸς κατεργάζηται· εἰ δὲ κωλύει οὐδὲν πῦρ εἶναι τὴν τρίτην λαμπάδα, κἂν ἐκ προλαβούσης ἀναλάμψῃ φλογός, τίς ἡ σοφία τῶν διὰ ταῦτα τὴν τοῦ ἁγίου πνεύματος ἀξίαν ἀθετεῖν ἀσεβῶς νομιζόντων, ἐπειδήπερ μετὰ πατέρα καὶ υἱὸν ἠριθμήθη παρὰ τῆς θείας φωνῆς; εἰ μὲν γὰρ λείπει τι τῶν θεοπρεπῶν νοημάτων ἐν τοῖς ἐπιθεωρουμένοις τῇ φύσει τοῦ πνεύματος, καλῶς αὐτῷ προσμαρτυροῦσι τὸ ἄδοξον· εἰ δὲ διὰ πάντων τὸ μεγαλεῖον τῆς τοῦ ἁγίου πνεύματος ἀξίας κατανοεῖται, τί μικρολογοῦσι περὶ τὴν ὁμολογίαν τῆς δόξης; ὥσπερ ἂν εἴ τις ἄν–

θρωπόν τινα λέγων εἶναι, μηκέτι ἀσφαλὲς ἡγοῖτο συνομολογεῖν ἐπὶ τούτου τὸ λογικὸν ἢ θνητὸν ἢ εἴ τι ἄλλο περὶ τὸν ἄνθρωπον λέγεται, καὶ διὰ τοῦτο ἀνατρέποι πάλιν ὃ ἔδωκεν· εἰ γὰρ οὐ λογικὸς, οὐδὲ ἄνθρωπος πάντως· εἰ δὲ τοῦτο δέδοται, πῶς τὸ συνημμένον μετὰ τοῦ ἀνθρώπου νοούμενον ἀμφιβάλλεται; οὕτω τοίνυν εἰ ἀληθεύει περὶ τοῦ πνεύματος ὁ θεῖον λέγων, οὐδὲ ὁ τίμιόν τε καὶ ἔνδοξον ἀγαθόν τε καὶ δυνατὸν εἶναι τοῦτο διοριζόμενος ψεύδεται· τῇ γὰρ τῆς θειότητος ἐννοίᾳ πάντα τὰ τοιαῦτα νοήματα συνεισέρχεται· ὥστε ἀναγκαῖον εἶναι τῶν δύο τὸ ἕτερον, ἢ μηδὲ θεῖον λέγειν, ἢ μηδὲν τῶν θεοπρεπῶν νοημάτων ὑποσπᾶν τῆς θειότητος· διὰ τοῦτο δεῖ πάντως μετ' ἀλλήλων τὰ δύο καταλαμβάνεσθαι, καὶ τὴν θείαν φύσιν μετὰ τῆς προσφυοῦς ὑπολήψεως, καὶ τὰς εὐσεβεῖς ἐννοίας περὶ τὴν θείαν τε καὶ ὑπερέχουσαν φύσιν.

Ἐπεὶ οὖν εἴρηται τῆς θείας φύσεως εἶναι τὸ πνεῦμα, καὶ καλῶς εἴρηται, πᾶσα δὲ μεγαλοπρεπὴς ἔννοια τῷ ὀνόματι τούτῳ καθὼς εἴρηται συνεμφαίνεται, ὁ ἐκεῖνο δοὺς τῇ δυνάμει, συνωμολόγησε τὰ λειπόμενα τὸ καὶ ἔνδοξον εἶναι καὶ δυνατὸν καὶ εἴ τι πρὸς τὸ κρεῖττον φέρει τὴν σημασίαν· οὐδὲ γὰρ φύσιν ἔχει μὴ ὁμολογεῖσθαι ταῦτα περὶ τοῦ πνεύματος διὰ τὸ ἀπεμφαῖνον τῶν ἀντιδιαστελλομένων τοῖς τοιούτοις ὀνόματα· ὁ γὰρ ἔνδοξον μὴ διδοὺς, ἄδοξον δώσει· καὶ ὁ τὸ δυνατὸν ἀθετῶν ἐπ' αὐτοῦ, τῷ ἐναντίῳ συνθήσεται· ὡσαύτως καὶ περὶ τοῦ τιμίου καὶ ἀγαθοῦ, καὶ τὰ πρὸς τὰ κρείττονα εἰ μὴ παραδέχοιτο, τὰ ἐναντία πάντως ὁμολογήσει· εἰ δὲ φρικτὸν τοῦτο, καὶ πάσης ἀτοπίας καὶ βλασφημίας ἐπέκεινα, δῆλον ὅτι τοῖς εὐσημοτέροις ὀνόμασι τέ καὶ νοήμασι περὶ τοῦ ἁγίου πνεύματος οἱ εὐσεβοῦντες συνθήσονται, καὶ ἐροῦσιν εἶναι ταῦτα ἃ δὴ πολλάκις εἰρήκαμεν, τίμιον, δυνατὸν, ἔνδοξον, ἀγαθόν, καὶ εἴ τι ἄλλο τῶν πρὸς εὐσέβειαν συντεινόντων λέγεται. Ταῦτα δὲ οὐκ ἀτελῶς προσεῖναι τῷ πνεύματι οὐδὲ περιωρισμένην ἔχοντα τοῦ καλοῦ τὴν ποσότητα, ἀλλ' ἐπὶ τὸ ἄπειρον ταῖς κλήσεσι συμβαίνοντα· οὐ γὰρ μέχρι τινὸς τίμιον, εἶτα ἄλλο τί νοεῖται παρὰ τὸ τίμιον, ἀλλ' ἀεὶ τοιοῦτον· καὶ εἰ κατόπιν τῶν αἰώνων λογίζοιο, καὶ εἰ πρὸς τὸ ἀφεξῆς ἀποβλέπῃς, ἐν οὐδενὶ τὸ λεῖπον εἰς τιμὴν ἢ δόξαν ἢ δύναμιν ἐξευρήσεις, ὡς ἢ κατὰ προσθήκην αὔξεσθαι, ἢ ἐλαττοῦσθαι δι' ὑφαιρέσεως· οὐκοῦν εἰ ὅλον δι' ὅλου τέλειον, ἐν οὐδενὶ δέχεται τὴν ἐλάττωσιν· καθ' ὃ γὰρ ἂν μειωθῇ περὶ τὴν τοιαύτην ὑπόνοιαν ἡ τελειότης, κατ' ἐκεῖνο δώσει χώραν ταῖς ἀτιμοτέραις τῶν ὑπολήψεων· τὸ γὰρ μὴ τελείως τίμιον, μέρει τινὶ τοῦ ἐναντίου μετέχειν ὑπονοεῖται· εἰ δὲ τοῦτο καὶ μέχρις ἐννοίας λαβεῖν, τῆς ἐσχάτης παραπληξίας ἐστὶ, καλῶς ἔχει πάντως ἀόριστον αὐτῷ καὶ ἀπερίγραπτον καὶ κατ' οὐδὲν μέρος ἠλαττωμένην προσμαρτυρεῖν τὴν ἐν τοῖς ἀγαθοῖς τελειότητα.

Εἰ δὴ τοιοῦτος ἐστὶν ἐφεξῆς ὁ λόγος, καὶ περὶ τοῦ υἱοῦ τὸ ἴσον διασκεψάσθω, καὶ περὶ τοῦ πατρὸς ὡσαύτως· ἆρ' οὐχὶ τὸ τέλειον ὁμολογεῖ τῆς τιμῆς καὶ ἐπὶ τούτου καὶ ἐπ' ἐκείνου; πάντας οἶμαι τὸν νοῦν

ἔχοντας τοῖς εἰρημένοις συνθήσεσι· εἰ οὖν τελεία τοῦ πατρὸς ἡ τιμὴ, τελεία δὲ καὶ τοῦ υἱοῦ, προσεμαρτυρήθη δὲ καὶ τῷ ἁγίῳ πνεύματι τὸ τῆς τιμῆς τὸ τέλειον, διὰ τί νομοθετοῦσιν ἡμῖν οἱ καινοὶ δογματισταὶ μὴ δεῖν ὁμολογεῖν ἐπ' αὐτοῦ πρὸς πατέρα καὶ υἱὸν τὸ ὁμότιμον; ἡμεῖς μὲν γὰρ τοῖς ἐξητασμένοις ἑπόμενοι, τὸ μηδεμιᾶς προσθήκης εἰς τελείωσιν προσδεόμενον, ἀτιμότερον ἑτέρου τινὸς οὔτε λέγειν οὔτε νοεῖν δυνάμεθα· οὐ γὰρ τὸ πλεονάζον οὐκ ἐξευρίσκει ὁ λόγος διὰ τὸ ἀνελλιπές τε καὶ τέλειον, ἐν τίνι καταλήψεται αὐτοῦ τὴν ἐλάττωσιν οὐχ ὁρῶ· οἱ δὲ ἀπαγορεύοντες τὸ ὁμότιμον, δογματίζουσι πάντως τὸ ἀτιμότερον καὶ π . . καὶ ὡσαύτως κατὰ τὴν αὐτὴν ἀκολουθίαν διὰ τῆς κατὰ τὴν σύγκρισιν ἐλαττώσεως, ἐπὶ τὸ ἐναντίον τὰς εὐσεβεῖς ὑπολήψεις περὶ τοῦ πνεύματος παρατρέψουσι, μὴ ἐν ἀγαθότητι, μηδὲ ἐν δυνάμει, μὴ ἐν ἄλλῳ τινὶ τῶν εὐσεβῶς περὶ αὐτοῦ λεγομένων συμμαρτυροῦντες τὸ τέλειον. Εἰ δὲ τὸ πρόδηλον τῆς ἀσεβείας ἐκκλίνοντες, τὸ ἐν παντὶ τῷ κατὰ τὸ ἀγαθὸν λεγομένῳ νοήματι τέλειον ὁμολογοῦσιν, εἰπάτωσαν οἱ σοφοὶ πῶς τελείου τέλειον ἢ τελειότερόν ἐστιν ἢ ἀ . . διώτερον . . ως γὰρ ἂν ὁ τῆς τελειότητος ἐφαρμόζηται λόγος, οὔτε τὸ πλέον οὔτε τὸ ἔλαττον ἐν τῇ τοῦ τελείου ἐννοίᾳ ὁλ . . παραδέχεται.

Εἰ οὖν διὰ πάντων τέλειον τὸ πνεῦμα τὸ ἅγιον εἶναι συντίθενται, ὡμολόγηται δὲ πρὸς τούτοις εὐσεβὲς εἶναι καὶ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ ἐν παντὶ ἀγαθῷ τέλειον, τίς ὁ λόγος καθ' ὃν εὔλογον κρίνουσι πατέρα ἀναιρεῖν, δεδώκασι· τὸ γὰρ ἀναιρεῖν τὸ ὁμότιμον, ἀπόδειξίς ἐστι τοῦ μὴ νομίζειν μετέχειν τῆς τελειότητος· αὐτὸ δὲ τοῦτο τὴν τιμὴν ἐπὶ τῆς θείας φύσεως τί ποτε ἄρα νομίζουσιν, ἧς ἄμοιρον εἶναι τὸ πνεῦμα βούλονται; πότερον ταύτην φασὶν ἣν καὶ ἄνθρωποι ἀνθρώποις χαρίζονται λόγῳ τε θεραπεύοντες καὶ σχήματι; τὸ ὑπήκοον ἐνδεικνύμενοι κατὰ τὴν πρόοδον καὶ ὅσα τοιαῦτα τῇ ματαίᾳ τοῦ βίου συνηθείᾳ τῷ τῆς τιμῆς γίνεται λόγῳ, ἅπερ πάντα τῇ προαιρέσει τῶν ταῦτα ἐργαζομένων συνέστηκεν· ὧν καθ' ὑπόθεσιν μὴ προελομένων, οὐδεμίαν ἐκ φύσεως ἀφορμὴν ἔχει τῶν ἀνθρώπων οὐδεὶς εἰς τὸ εἶναι τῶν λοιπῶν τιμιώτερος, πάντων ὁμοίως κατὰ τὰ αὐτὰ μέτρα τῆς φύσεως γνωριζομένων· σαφὴς δὲ ὁ λόγος καὶ οὐδεμίαν ἀμφιβολίαν ἔχων· τὸν γὰρ σήμερον διὰ τὴν ἀρχὴν, ἧς προέστηκε, τίμιον τοῖς πολλοῖς εἶναι δοκοῦντα εὑρήσομεν ἐφεξῆς ἕνα τῶν τιμώντων καὶ αὐτὸν γινόμενον, τῆς ἀρχῆς εἰς ἕτερον μετενεχθείσης· ἆρ' οὖν τοιοῦτόν τι τῆς τιμῆς εἶδος καὶ ἐπὶ τῆς θείας φύσεως ἐπινοοῦσιν; ὥστε βουλομένων μὲν ἡμῶν τὸ τίμιον ἔχειν. παυσαμένων δὲ τοῦ τιμᾷν τῇ ἡμετέρᾳ προαιρέσει συγκαταλήγειν τὴν θείαν τιμήν. ἢ καταγέλαστόν ἐστι καὶ ἀσεβὲς ἅμα τὰ τοιαῦτα νοεῖν· οὐ γὰρ δι' ἡμᾶς τὸ θεῖον ἑαυτοῦ τιμιώτερον γίνεται, ἀλλ' ἀεὶ ὡσαύτως ἔχει, οὔτε πρὸς τὸ χεῖρον οὔτε πρὸς τὸ κρεῖττον μεταβῆναι δυνάμενον· τὸ μὲν γὰρ οὐ δέχεται, τὸ δὲ οὐκ ἔχει.

Τίνι τοίνυν τρόπῳ τιμήσεις τὸ θεῖον; πῶς ὑψώσεις τὸ ὕψιστον; πῶς δοξάσεις τὸ ὑπὲρ πᾶσαν δόξαν; πῶς ἐπαινέσεις τὸ ἀκατάληπτον; εἰ πάντα τὰ ἔθνη ὡς σταθμὸς.

ἀπὸ κάδου, καθώς φησιν Ἡσαΐας, ἐὰν πᾶσα ἡ τῶν ἀνθρώπων ζωὴ συναρμοσθεῖσα ὁμόφωνον ἀναπέμψῃ τὴν δόξαν, τίς ἔσται προσθήκη τῷ κατὰ τὴν φύσιν ἐνδόξῳ τῆς σεγόνος ἡ χάρις; οἱ οὐρανοὶ διηγοῦνται τὴν δόξαν τοῦ θεοῦ, καὶ μικροὶ κήρυκες τῆς ἀξίας νομίζονται· ὅτι ἐπήρθη ἡ μεγαλοπρέπεια αὐτοῦ, οὐ μέχρι τῶν οὐρανῶν, ἀλλ' ὑπεράνω τῶν οὐρανῶν, τῷ μικρῷ μέρει τῆς θεότητος τῇ σπιθαμῇ τροπικῶς ὀνομαζομένῃ περιειλημμένων· καὶ ἄνθρωπος τὸ ἐπίκηρον τοῦτο καὶ ὠκύμορον ζῶον, καλῶς τῷ χόρτῳ προσεικασμένος, σήμερον ὢν καὶ αὔριον οὐκ ἐσόμενος, ἀξίως τιμῆσαι τὴν θείαν φύσιν πεπίστευκεν; ὅμοιον ὥσπερ ἂν εἴ τις ἐξάψας λεπτὴν ἶνα ἀπὸ στιππύου, προσθήκην τινὰ τῶν τοῦ ἡλίου μαρμαρυγαῖς διὰ τοῦ σπινθῆρος ὑπολαμβάνοι χαρίζεσθαι· τί λέγων εἰπέ μοι τιμήσεις, ἐάν περ ὅλως τιμῆσαι θελήσῃς τὸ πνεῦμα τὸ ἅγιον, ὅτι ἀθάνατον ἐστὶ πάντως, ὅτι ἄτρεπτόν τε καὶ ἀναλλοίωτον, καὶ ἀεὶ καλὸν, καὶ ἀπροσδεὲς τῆς ἑτέρων χάριτος; ὅτι πάντα ἐν πᾶσιν ἐνεργεῖ καθὼς βούλεται, ἅγιον, ἡγεμονικὸν, εὐθὲς, δίκαιον, ἀληθινὸν, τὰ βάθη ἐρευνοῦν τοῦ θεοῦ, ἐκ πατρὸς ἐκπορευόμενον, ἐκ τοῦ υἱοῦ λαμβανόμενον, καὶ εἴ τι τοιοῦτο; τί οὖν διὰ τούτων καὶ τῶν τοιούτων χαρίζῃ; τὰ προσόντα λέγεις, ἢ διὰ τῶν μὴ προσόντων τιμᾷς; εἰ μὲν γὰρ τὰ μὴ προσόντα προσμαρτυρεῖς, ματαία ἡ χάρις, καὶ εἰς οὐδὲν φέρουσα πλέον· ὁ γὰρ τὸ πικρὸν γλυκὺ λέγων, αὐτὸς μὲν ἐψεύσατο, τὸ δὲ ψευκτὸν οὐκ ἐπῄνεσεν· εἰ δὲ τὰ ὄντα λέγεις, τῇ φύσει τοιοῦτον ἐστὶ πάντως καὶ ὁμολογοῦντος καὶ μή· φησὶ γὰρ ὁ ἀπόστολος ὅτι εἰ ἀπιστοῦμεν, ἐκεῖνος πιστὸς μένει.

Τί οὖν βούλεται ἡ ὑποστολὴ τῆς ψυχῆς καὶ ἡ μεγαλοψυχία ἐπὶ μὲν τοῦ πατρὸς φιλοτιμουμένων, καὶ τῷ υἱῷ τυχεῖν (πατρὶ) ἴσα χαριζομένων, ἐπὶ δὲ τοῦ πνεύματος σμικρολογούντων τὴν χάριν; εἴπερ δέδεικται οὐκ ἐκ τῆς προαιρέσεως ἡμῶν πληρουμένη ἡ ἰδίως προσοῦσα τῇ θείᾳ φύσει τιμὴ, ἀλλὰ προσφυῶς συνυπάρχουσα· ἡ μὲν γὰρ ἀγνωμοσύνη τῶν ἀχαρίστων διὰ τῆς τοιαύτης αὐτῶν γνώμης ἐλέγχεται, τὸ δὲ πνεῦμα τῇ ἑαυτοῦ φύσει τίμιον ἔνδοξον δυνατὸν, πάντα τὰ ὑψηλὰ τῶν νοημάτων ἐστὶ, κἂν οὗτοι μὴ βούλωνται. Ναί φησιν· ἀλλὰ τὸν πατέρα μὲν δημιουργὸν εἶναι παρὰ τῆς γραφῆς ἐδιδάχθημεν· ὡσαύτως καὶ διὰ τοῦ υἱοῦ τὰ πάντα γεγενῆσθαι ἐμάθομεν, οὐδὲν δὲ τοιοῦτο περὶ τοῦ πνεύματος ἡμᾶς ὁ λόγος ἐδίδαξεν· καὶ πῶς ἐστιν εἰκὸς εἰς ἰσοτιμίαν ἄγειν τὸ πνεῦμα τὸ ἅγιον τῷ διὰ τῆς δημιουργίας τοσοῦτο μέγεθος δυνάμεως ἐπιδειξαμένῳ; Τί οὖν ἡμεῖς πρὸς τοῦτο ἀποκρινούμεθα; ὅτι μάταια ἐλάλησαν ἐν ταῖς καρδίαις αὐτῶν οἱ νομίζοντες μὴ ἀεὶ μετὰ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ τὸ πνεῦμα εἶναι, ἀλλὰ κατὰ καιρούς τινας ποτὲ μὲν ἐφ' ἑαυτοῦ θεωρεῖσθαι, ποτὲ δὲ συνημμένως καταλαμβάνεσθαι· εἰ γὰρ χωρὶς τοῦ πνεύματος γέγονεν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶσα ἡ κτίσις διὰ τοῦ υἱοῦ μόνου ἐκ τοῦ πατρὸς, εἰπάτωσαν οἱ ταῦτα λέγοντες, τί ἐποίει τότε τὸ πνεῦμα τὸ ἅγιον, ὅτε ὁ πατὴρ μετὰ τοῦ υἱοῦ τὴν κτίσιν ἐνήργει; ἄλλοις τισὶν ἔργοις προσησχολεῖτο; καὶ διὰ τοῦτο τῆς κτίσεως τῆς

πάντων οὐ συνεφήπτετο; καὶ τί ἔχουσι δεῖξαι ἰδιάζον ἔργον τοῦ πνεύματος ὅτε ἡ κτίσις συνίστατο; ἢ μωρόν ἐστι καὶ ἀνόητον τὸ εἰς ἄλλην κτίσιν παρὰ τὴν ἐκ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ ὑφεστῶσαν ἐπινοεῖν· ἀλλ' οὐκ ἠσχολεῖτο μέν, ῥᾳθυμίᾳ δέ τινι καὶ ῥᾳστώνῃ καὶ τῷ περὶ τοὺς πόνους ὄκνῳ τῆς περὶ τὴν κτίσιν σπουδῆς ἐχωρίζετο;

Ἀλλ' ἵλεως εἴη ἡμῖν ἐπὶ τῇ ματαιότητι ταύτῃ τῶν λόγων αὐτὴ ἡ τοῦ πνεύματος χάρις· τῇ γὰρ ἀτοπίᾳ τῶν τὰ τοιαῦτα δογματιζόντων κατ' ἴχνος ἑπόμενοι ἀβουλήτως ταῖς ἐννοίαις αὐτῶν οἷόν τινι βορβόρῳ τὸν λόγον κατερρυπωσάμεθα· ἡ εὐσεβὴς διάνοια τοῦτον ἔχει τὸν τρόπον· οὔτε πατὴρ χωρὶς υἱοῦ ποτὲ ἐννοεῖται, οὔτε υἱὸς δίχα τοῦ ἁγίου πνεύματος καταλαμβάνεται· ὡς γὰρ ἀμήχανόν ἐστιν ἀνελθεῖν πρὸς τὸν πατέρα μὴ διὰ τοῦ υἱοῦ ὑψωθέντα, οὕτως ἀδύνατόν ἐστι κύριον Ἰησοῦν εἰπεῖν μὴ ἐν πνεύματι ἁγίῳ· οὐκοῦν ἀκολούθως τε καὶ συνημμένως ὁ πατὴρ καὶ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον ἀεὶ μετ' ἀλλήλων ἐν τελείᾳ τῇ τριάδι γνωρίζονται καὶ πρὸ πάσης κτίσεως καὶ πρὸ πάντων αἰώνων καὶ πρὸ πάσης καταληπτῆς ἐπινοίας· ἀεὶ πατὴρ ὁ πατήρ ἐστι. καὶ ἐν τῷ πατρὶ ὁ υἱός, καὶ μετὰ τοῦ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον· εἰ οὖν ἀχωρίστως ταῦτα μετ' ἀλλήλων ἐστί, τίς ἡ ματαιότης τῶν ἐν καιρῷ τινι διαχωρίζειν ἐπιχειρούντων τὸ ἄτμητον, καὶ διαιρεῖν τὸ ἀχώριστον, ὥστε τολμᾶν λέγειν, μόνος ἐποίησεν ὁ πατὴρ διὰ μόνου τοῦ υἱοῦ τὰ πάντα· τοῦ ἁγίου πνεύματος ἐν τῷ καιρῷ τῆς δημιουργίας ἢ μὴ παρόντος, ἢ μὴ ἐνεργοῦντος· εἰ μὲν γὰρ οὐ παρῆν, εἰπάτωσαν ποῦ ἦν; πάντα τοῦ θεοῦ διειληφότος, εἴ τινα ἰδιάζουσαν τῷ πνεύματι στάσιν ἐπινοοῦσιν; ὥστε ἐφ' ἑαυτοῦ κεχωρισμένως εἶναι κατὰ τὸν τῆς κτίσεως χρόνον· εἰ δὲ παρῆν, πῶς ἀνενέργητον ἦν; τῷ μὴ δύνασθαί τι ποιεῖν, ἢ τῷ μὴ βούλεσθαι; ἑκουσίως ἀπολειπόμενον, ἢ ὑπό τινος βιαιοτέρας ἀνάγκης ἐλαυνόμενον; εἰ μὲν γὰρ ἐκ προαιρέσεως τὴν ἀργίαν ἠσπάζετο, οὐδὲ ἐν ἄλλῳ τινὶ πάντως τὸ ἐνεργεῖν καταδέχεται· καὶ ψευδὴς κατ' αὐτοὺς ὁ λέγων, ὅτι πάντα ἐν πᾶσιν ἐνεργεῖ καθὼς βούλεται.

Εἰ δὲ τούτῳ μὲν ἐστὶν ἡ πρὸς τὸ ἐνεργεῖν ὁρμή· ὑπερκειμένη δέ τις ἐξουσία κωλύει τὴν πρόθεσιν, εἰπάτωσαν τὴν αἰτίαν τοῦ ταῦτα κωλύοντος· φθόνῳ τῆς ἐκ τῶν ἔργων δόξης, ὡς ἂν μὴ καὶ εἰς ἄλλον διαβαίνῃ τῶν κατορθωμάτων τὸ θαῦμα; ἢ τῷ μὴ καταπιστεύειν τῇ συνεργίᾳ, ὡς ἐπὶ λύμῃ τοῦ παρόντος ἐσομένης αὐτοῦ τῆς ἐργασίας; πάντως γὰρ τῶν τοιούτων ὑπολήψεων καὶ τὰς αἰτίας ἡμῖν οἱ σοφοὶ οὗτοι διασαφήσουσιν· εἰ δὲ οὔτε φθόνος τῆς θείας ἅπτεται φύσεως, οὔτε τι σφάλμα περὶ τὴν ἄπταιστον φύσιν ἐπινοεῖται, τί βούλεται αὐτοῖς ἡ μικροπρέπεια τῶν νοημάτων, ἡ τῆς δημιουργικῆς αἰτίας ἀφορίζουσα τὴν τοῦ πνεύματος δύναμιν; δέον ταῖς ὑψηλοτέραις τῶν ἐννοιῶν ἀφιέναι μὲν τὰ ταπεινὰ καὶ ἀνθρώπινα τῶν νοημάτων, λογισμὸν δὲ λαβεῖν τοῦ ὕψους τῶν ζητουμένων ἐπάξιον· ὅτι οὔτε ὁ ἐπὶ πάντων θεὸς συνεργίας τινὸς

χρήζων διὰ τοῦ υἱοῦ τὰ πάντα ἐποίησεν, οὔτε ὁ μονογενὴς Θεὸς ἐλάττονα τῆς προθέσεως τὴν δύναμιν ἔχων ἐν τῷ ἁγίῳ πνεύματι τὰ πάντα ἐργάζεται· ἀλλὰ πηγὴ μὲν δυνάμεώς ἐστιν ὁ πατήρ, δύναμις δὲ τοῦ πατρὸς ὁ υἱός, δυνάμεως δὲ πνεῦμα τὸ πνεῦμα τὸ ἅγιον· ἡ δὲ κτίσις πᾶσα ὅση τε αἰσθητὴ καὶ ὅση ἀσώματος, τῆς θείας δυνάμεώς ἐστιν ἀποτέλεσμα· καὶ ἐπειδὴ πόνος οὐδεὶς ἐν τῇ συστάσει τῶν περὶ τὴν θείαν φύσιν ὑπονοεῖται, ὁμοῦ γὰρ τῷ προελέσθαι, τὸ γενέσθαι δέον, εὐθὺς οὐσία ἡ πρόθεσις γίνεται, πᾶσαν τὴν διὰ τῆς κτίσεως ὑποστᾶσαν φύσιν, θελήματος κίνησιν, καὶ προθέσεως ὁρμήν, καὶ δυνάμεως διάδοσιν, εἰκότως ἄν τις προσαγορεύσειεν ἐκ πατρὸς ἀρχομένην, καὶ δι' υἱοῦ προϊοῦσαν, καὶ ἐν πνεύματι ἁγίῳ τελειουμένην.

Ταῦτα ἡμεῖς ἰδιωτικῶς καὶ κατὰ τὸν συνήθη τρόπον ἡμῖν ἐννοοῦντες, τὰ σοφὰ ταῦτα τῶν ἀνθυποφερόντων οὐ προσιέμεθα, πιστεύοντες καὶ ὁμολογοῦντες ἐν παντὶ πράγματι καὶ νοήματι ἐγκοσμίῳ τε καὶ ὑπερκοσμίῳ καὶ τοῖς ἐν χρόνῳ καὶ τοῖς προαιωνίοις μετὰ πατρὸς καὶ υἱοῦ τὸ πνεῦμα τὸ ἅγιον καταλαμβάνεσθαι, μήτε βουλήματος μήτε ἐνεργείας μήτε ἄλλου τινὸς τῶν κατὰ τὸ ἀγαθὸν εὐσεβῶς νοουμένων ἀπολιμπανόμενον· καὶ διὰ τοῦτο, ἐκτὸς τῆς κατὰ τάξιν καὶ ὑπόστασιν διαφορᾶς, ἐν οὐδενὶ τὸ παρηλλαγμένον καταλαμβάνομεν, ἀλλὰ τρίτην μὲν τῇ ἀκολουθίᾳ φαμὲν μετὰ πατέρα καὶ υἱὸν ἀριθμεῖσθαι· τρίτην δὲ καὶ τῇ τάξει τῆς παραδόσεως· ἐν δὲ τοῖς λοιποῖς πᾶσιν ἀχώριστον τὴν συνάφειαν ὁμολογοῦντες ἐν φύσει καὶ ἐν τιμῇ καὶ ἐν θεότητι καὶ δόξῃ καὶ μεγαλοπρεπείᾳ καὶ τῇ ἐπὶ πάντων ἐξουσίᾳ· καὶ τῇ εὐσεβεῖ ὁμολογίᾳ.

Περὶ δὲ λατρείας καὶ προσκυνήσεως καὶ ὅσα τοιαῦτα μικρολογοῦντες προφέρουσιν οἱ σοφοὶ παρ' ἑαυτοῖς, ἐκεῖνα λέγομεν, ὅτι πάντων τῶν παρ' ἡμῖν γινομένων ἐκ προαιρέσεως ἀνθρωπίνης ὑψηλότερον ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον· καὶ ἡ προσκύνησις ἡμῶν ταπεινοτέρα ἐστὶ τῆς χρεωστουμένης τιμῆς· καὶ εἴ τι ἄλλο ἡ ἀνθρωπίνη συνήθεια τίμιον ἔχει, κάτω που τῆς ἀξίας ἐστὶ τοῦ πνεύματος· τὸ γὰρ τῇ φύσει ἀμέτρητον, μεῖζον ἐστὶ τῶν ἀπὸ μικρᾶς καὶ περιγεγραμμένης καὶ εὐτελοῦς δυνάμεως τὰ κατὰ δύναμιν αὐτῷ δωροφορούντων· ταῦτα μὲν οὖν φαμὲν πρὸς τοὺς συντιθεμένους τῇ εὐσεβεστέρᾳ περὶ τοῦ ἁγίου πνεύματος ὑπολήψει, ὅτι τε θεῖον ἐστὶ καὶ φύσεως θείας. Εἰ δέ τις ἀθετοίη τὴν φωνὴν ταύτην καὶ τὴν διάνοιαν τὴν τῷ ὀνόματι τῆς θεότητος συνεμφαινομένην, λέγοι δὲ τὸ παρὰ τῶν πολλῶν ἐπὶ καθαιρέσεως τῆς τοῦ πνεύματος μεγαλωσύνης περιφερομένων, ὅτι οὐχὶ τῶν ποιούντων, ἀλλὰ τῶν ποιηθέντων ἐστί, καὶ οὐχὶ τῆς θείας, ἀλλὰ τῆς κτιστῆς φύσεως εἶναι προσήκει νομίζειν, τοῦτον τὸν λόγον ἀποκρινούμεθα, ὅτι τοὺς οὕτως ἔχοντας ἐν χριστιανοῖς ἀριθμεῖν οὐκ ἐμάθομεν· ὥσπερ γὰρ ἄνθρωπον οὐκ ἄν τις προσείποι τὸ ἀτελεσφόρητον ἔμβρυον, ἀλλὰ δύναμιν εἴπερ ἐτελεσφορήθη εἰς ἀνθρώπου γένεσιν προελθεῖν, ἕως δ' ἂν ἐν τῷ ἀτελεῖ ᾖ, ἄλλο τί ἐστι καὶ οὐκ ἄνθρωπος· οὕτως ὁ μὴ δι' ὅλου τοῦ μυστηρίου τὴν ἀληθῆ μόρφωσιν τῆς εὐσεβείας δεξάμενον, χριστιανὸν οὐκ

οἶδεν ὁ λόγος· ἔστι γὰρ καὶ ἰουδαίων ἀκούειν θεὸν ὁμολογούντων καὶ θεὸν τὸν ἡμέτερον· ἐντίθεται αὐτοῖς ἐν τῷ εὐαγγελίῳ καὶ ὁ κύριος, ὅτι οὐκ ἄλλον νομίζουσι θεὸν ἢ τὸν πατέρα τοῦ μονογενοῦς ὃν ὑμεῖς φησὶ λέγετε ὅτι θεὸς ἡμῶν ἐστιν· ἆρ᾽ οὖν χριστιανοὺς ὀνομαστέον τοὺς ἰουδαίους, ὅτι τὸ παρ᾽ ἡμῶν προσκυνούμενον, καὶ αὐτοὶ σέβειν ὁμολογοῦσιν; οἶδα καὶ μανιχαίους τὸ ὄνομα τοῦ χριστοῦ περιφέροντας· τί οὖν; ἐπειδὴ σεβάσμιον παρὰ τούτοις τὸ παρ᾽ ἡμῶν προσκυνούμενον ὄνομα, διὰ τοῦτο καὶ αὐτοὺς ἐν χριστιανοῖς ἀριθμήσομεν; οὕτως καὶ ὁ τὸν πατέρα μὲν ὁμολογῶν, καὶ τὸν υἱὸν παραδεχόμενος, ἀθετῶν δὲ τὴν μεγαλωσύνην τοῦ πνεύματος, ἤρνηται τὴν πίστιν, καὶ ἐστὶν ἀπίστου χείρων, καὶ τῆς ἐπωνυμίας τοῦ χριστιανοῦ καταψεύδεται· ἄρτιον εἶναι κελεύσει τὸν τοῦ θεοῦ ἄνθρωπον ὁ ἀπόστολος· ἄρτιον δ᾽ ἂν εἴη ἐπὶ μόνου τοῦ κοινοῦ ἀνθρώπου τὸ παντὶ λόγῳ συμπεπληρωμένον τῆς φύσεως· λογικόν τε γὰρ εἶναι χρὴ, νοῦ καὶ ἐπιστήμης δεκτικὸν, ζωῆς μετέχον, ὄρθιον τῷ σχήματι, γελαστικὸν, πλατυώνυχον· εἰ δὲ ὀνομάζοι μέν τις ἄνθρωπον, τὰ δὲ εἰρημένα σημεῖα τῆς φύσεως μὴ ἔχοι ἐπὶ τούτου παρέχεσθαι, μάτην ἐτίμησε τῷ προσρήματι. Οὕτως καὶ ὁ χριστιανὸς τῇ εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα πίστει χαρακτηρίζεται· αὕτη ἐστὶν ἡ μορφὴ τοῦ κατὰ τὸ μυστήριον τῆς ἀληθείας μεμορφωμένου· εἰ δὲ ἑτέρως ἡ μορφὴ διαπεπλασμένη τύχῃ, οὐκ ἐπιγνώσομαι τὴν ἀμόρφου τὴν φύσιν· σύγχυσις ἐστὶ τοῦ χαρακτῆρος, καὶ τῆς κατὰ φύσιν μορφῆς ἀλλοτρίωσις, καὶ παραλλαγὴ τῶν γνωριστικῶν σημείων τῆς ἀνθρωπότητος, ὅταν μὴ συμπαραληφθῇ τῇ πίστει τὸ πνεῦμα τὸ ἅγιον· ἀληθεύει γὰρ τοῦ ἐκκλησιαστικοῦ ὁ λόγος· ὅτι οὗτος οὐχὶ ζῶν ἐστιν ἄνθρωπος ἀλλὰ ὀστᾶ, καθὼς ἐκεῖνος, φησὶν ἐν τῇ γαστρὶ τῆς κυοφορούσης· πῶς γὰρ ὁμολογήσει Χριστὸν ὁ μὴ συνεπινοῶν τῷ χρισθέντι τὸ χρίσμα; τοῦτον ἔχρισε, φησὶν, ὁ θεὸς ἐν πνεύματι ἁγίῳ.

Εἰπάτωσαν οὖν ἡμῖν οἱ καθαιροῦντες τὴν τοῦ πνεύματος δόξαν, καὶ τῇ ὑποχειρίῳ φύσει συγκατατάσσοντες, τίνος σύμβολόν ἐστιν ἡ χρίσις; οὐχὶ τῆς βασιλείας; τί δὲ οὐχὶ φύσει βασιλέα τὸν μονογενῆ πεπιστεύκασιν; οὐκ ἀντεροῦσι πάντως οἵ γε μὴ καθάπαξ τῷ ἰουδαϊκῷ καλύμματι τὴν καρδίαν περιεχόμενοι· εἰ οὖν τῇ φύσει βασιλεὺς ὁ υἱὸς, βασιλείας δὲ σύμβολόν ἐστι τὸ χρίσμα, τί σοι διὰ τῆς ἀκολουθίας ὁ λόγος ἐνδείκνυται; ὅτι οὐκ ἀλλότριον τί ἐστι τοῦ κατὰ φύσιν βασιλέως τὸ χρίσμα, οὐδὲ ὡς ξένον τι καὶ ἀλλόφυλον τῇ ἁγίᾳ τριάδι τὸ πνεῦμα συντέτακται· βασιλεὺς μὲν γὰρ ὁ υἱός· βασιλεία δὲ ζῶσα καὶ οὐσιώδης καὶ ἐνυπόστατος τὸ πνεῦμα τὸ ἅγιον, ᾗ χρισθεὶς ὁ μονογενὴς, Χριστὸς ἐστὶ καὶ βασιλεὺς τῶν ὄντων· εἰ οὖν βασιλεὺς ὁ πατὴρ, βασιλεὺς δὲ ὁ μονογενὴς, βασιλεία δὲ τὸ πνεῦμα τὸ ἅγιον, εἷς πάντως τῆς βασιλείας ἐπὶ τῆς τριάδος ὁ λόγος· ἡ δὲ τῆς χρίσεως ἔννοια τὸ μηδὲν εἶναι διάστημα μεταξὺ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος δι᾽ ἀπορρήτων αἰνίσσεται· ὡς γὰρ μεταξὺ τῆς τοῦ σώματος ἐπιφανείας, καὶ τῆς τοῦ ἐλαίου χρίσεως οὐδὲν ἐπινοεῖ μέσον

οὔτε ὁ λόγος οὔτε ἡ αἴσθησις, οὕτως ἀδιάστατός ἐστι πρὸς τὸ πνεῦμα τὸ ἅγιον τῷ υἱῷ ἡ συνάφεια· ὥστε τῷ μέλλοντι αὐτοῦ διὰ τῆς πίστεως ἅπτεσθαι, ἀναγκαῖον εἶναι προεντυγχάνειν διὰ τῆς ἀφῆς τῷ μύρῳ. οὐ γάρ ἐστί τι μέρος ὃ γυμνόν ἐστι τοῦ ἁγίου πνεύματος· διὰ τοῦτο ἡ ὁμολογία τῆς τοῦ υἱοῦ κυριότητος, ἐν πνεύματι ἁγίῳ τοῖς καταλαμβάνουσι γίνεται, πάντοθεν τοῖς διὰ πίστεως προσεγγίζουσι προαπαντῶντος τοῦ πνεύματος· εἰ οὖν τῇ φύσει βασιλεὺς ὁ υἱὸς, ἀξίωμα δὲ βασιλείας τὸ πνεῦμα τὸ ἅγιον, ᾧ ὁ υἱὸς χρίεται, τίς ἐπινοεῖται τῆς βασιλείας ἡ κατὰ τὴν φύσιν πρὸς ἑαυτὴν ἀλλοτρίωσις;

Ἔπειτα καὶ τοῦτο σκοπήσομεν· ἡ βασιλεία ἐν τῇ τῶν ὑποχειρίων ἀρχῇ πάντως γνωρίζεται· τί οὖν τῆς βασιλευούσης φύσεως ἐστὶ τὸ ὑπήκοον; τοὺς αἰῶνας πάντως καὶ τὰ ἐν τούτοις ὁ λόγος καταλαμβάνει· ἡ γὰρ βασιλεία σου, φησὶν, βασιλεία αἰώνων· αἰῶνας δὲ λέγων, πᾶσαν ἐκ τοῦ περιέχοντος τὴν ἐν αὐτοῖς συστάσεως κτίσιν περιλαμβάνει τήν τε ὁρατὴν καὶ ἀόρατον· ἐν αὐτοῖς γὰρ ἐκτίσθη τὰ πάντα διὰ τοῦ ποιητοῦ τῶν αἰώνων· εἰ οὖν ἡ βασιλεία πάντοτε μετὰ τοῦ βασιλέως νοεῖται, ἡ δὲ ὑποχείριος φύσις ἄλλό τι παρὰ τὴν ἄρχουσαν ὁμολογεῖται, τίς ἡ ἀτοπία τῶν ἑαυτοῖς μαχομένων, τῶν προστιθέντων μὲν τὸ χρίσμα τῷ κατὰ φύσιν βασιλεῖ ὡς ἀξίωμα, καταγόντων δὲ αὐτὸ τοῦτο εἰς τὴν ὑποχείριον τάξιν ὡς τῆς ἀξίας καταδεέστερον; εἰ μὲν γὰρ τῶν ὑπηκόων κατὰ τὴν φύσιν ἐστὶ, πῶς τῷ τῆς βασιλείας ἀξιώματι τοῦ μονογενοῦς συναρμόζεται χρίσμα βασιλείας γινόμενον; εἰ δὲ τὸ ἡγεμονικὸν αὐτοῦ διὰ τοῦ συμπαραληφθῆναι εἰς τὴν τῆς βασιλείας μεγαλοπρέπειαν δείκνυται, τίς ἡ ἀνάγκη καθαιρεῖσθαι πάντα εἰς ἰδιωτικήν τε καὶ δουλικὴν ταπεινότητα τῇ δουλευούσῃ κτίσει συναριθμούμενον; οὐ γὰρ δὴ τὰ δύο περὶ αὐτοῦ λέγοντα δυνατόν ἐστιν ἐκ ἑκατέρῳ τἀληθῆ λέγειν. ὅτι καὶ ἡγεμονικόν ἐστι καὶ ὑποχείριον· εἰ μὲν γὰρ ἡγεῖται, οὐ κυριεύεται· εἰ δὲ δουλεύει, οὐκέτι μετὰ τῆς βασιλευούσης φύσεως καταλαμβάνεται· ὡς γὰρ μετὰ ἀνθρώπων ἄνθρωποι, καὶ μετὰ ἀγγέλων ἄγγελοι, καὶ πάντα μετὰ τῶν ὁμοφύλων ἐπιγινώσκεται, οὕτω μεθ' ἑνὸς ἑκατέρων ὁμολογεῖσθαι τὸ πνεῦμα τὸ ἅγιον ἀναγκαῖον ἐστὶ, ἢ μετὰ τῆς κυριευούσης, ἢ μετὰ τῆς ὑποκυπτούσης φύσεως· μέσον γὰρ τούτων ἐπιγινώσκει ὁ λόγος οὐδέν· ὥστε τινὰ φύσεως ἰδιότητα ἐν μεθορίῳ τοῦ τε κτιστοῦ καὶ τοῦ ἀκτίστου καινοτομηθεῖσαν μεταξὺ τούτων εἶναι νομίζεσθαι· ὡς καὶ ἀμφοτέρων μετέχειν καὶ οὐδέτερον τελείως εἶναι· οὐδὲ γὰρ ἐνδέχεται μίξιν τινὰ τῶν ἐναντίων καὶ συμπλοκὴν ἐννοῆσαι τοῦ κτιστοῦ πρὸς τὸ ἄκτιστον συνανακιρναμένων· καὶ δύο τῶν ἐναντίων εἰς μίαν ὑπόστασιν συμμιγνυμένων· ὡς μὴ μόνον σύνθετον εἶναι τὸ διὰ τῆς ἀλλοκότου ταύτης μίξεως ἀναπλασσόμενον, ἀλλὰ καὶ ἐξ ἀνομοίων ἔχον τὴν σύνθεσιν καὶ κατὰ τὸν χρόνον οὐ συμφωνούντων· τοῦ γὰρ ἀκτίστως ὑφεστῶτος, τὸ διὰ κτίσεως τὴν ὑπόστασιν ἔχον, μεταγενέστερον πάντως ἐστίν.

Εἰ οὖν μεμίχθαι τὴν τοῦ πνεύματος φύσιν πρὸς ἑκάτερα λέγουσιν, ἄρα καὶ τοῦ πρεσβυτέρου πρὸς τὸ νεώτερον μίξιν τινὰ ἐννοήσουσι· καὶ ἔσται κατ' αὐτοὺς ἑαυτοῦ τι πρεσ-

βύτερον, καὶ ἑαυτοῦ τι πάλιν μεταγενέστερον· ὡς καὶ τῷ ἀκτίστῳ τὸ ἀρχαιότερον ἔχειν, καὶ τῷ κτιστῷ τὸ νεώτερον· ἐπεὶ οὖν τοῦτο φύσιν οὐκ ἔχει, ἀνάγκη πάντως τὸ ἕτερον τούτων ἐπὶ τοῦ πνεύματος ἀληθὲς εἶναι λέγειν, ὅπερ ἐστὶ τὸ ἄκτιστον· καὶ γὰρ κἀκεῖνο ὅσην ἔχει τὴν ἀτοπίαν σκοπήσωμεν· πάντων τῶν ἐν τῇ κτίσει νοουμένων κατ' αὐτὸ τοῦτο τὸ διὰ κτίσεως ἐσχηκέναι τὸ εἶναι τὴν ὁμοτιμίαν ἐχόντων, τίς ἡ αἰτία ἡ τὸ πνεῦμα τῶν λοιπῶν ἀποκρίνουσα εἰς τὸ παρὰ καὶ τῷ υἱῷ συνταχθῆναι; εὑρίσκεται γὰρ ἐκ τῆς ἀκολουθίας τοῦ λόγου, οὐκ ὂν ἐκ τῆς κτίσεως τὸ τῇ ἀκτίστῳ συνθεωρούμενον φύσει· ἢ εἰ ἐντεῦθεν εἴη, μηδὲν πλέον τῆς ὁμοφύλου ἰσχύειν κτίσεως, μηδὲ δύνασθαι τῇ ὑπερκειμένῃ συναρμόζεσθαι φύσει· εἰ δὲ λέγοιεν καὶ κτιστὸν εἶναι καὶ ὑπὲρ τὴν κτίσιν δύνασθαι, πάλιν εὑρίσκεται αὐτὴ πρὸς ἑαυτὴν ἡ κτιστὴ στασιάζουσα φύσις· καὶ μεριζομένη πρὸς τὸ κρατοῦν τε καὶ ὑποχείριον· ὡς τὸ μέν, εὐεργετεῖν· τὸ δέ, εὐεργετεῖσθαι· καὶ τὸ μὲν ἁγιάζειν, τὸ δὲ ἁγιάζεσθαι· καὶ πάντα ὅσα παρὰ τοῦ ἁγίου πνεύματος χορηγεῖσθαι τῇ κτίσει πεπίστευται, ἐκείνῳ μὲν παρεῖναι πλουσίως πηγάζοντα καὶ εἰς ἄλλους ὑπερχεόμενα, τὴν δὲ κτίσιν ἐπιδεᾶ τῆς ἐκεῖθεν ἀναδιδομένης εὐεργεσίας καὶ χάριτος καθεστάναι, καὶ ἐκ μετουσίας δέχεσθαι τὴν τῶν ἀγαθῶν κοινωνίαν τῶν ἐκ τοῦ ὁμογενοῦς προσχεομένων· ἀποκληρώσει γὰρ ὅμοιον καὶ προσωποληψίᾳ τὸ τοιοῦτον ἐστὶ μηδεμιᾶς ἐν τῇ φύσει προτιμήσεως οὔσης. μὴ τὰ αὐτὰ δύνασθαι τὰ κατ' οὐδὲν ἀλλήλων ἐν τῷ εἶναι τὴν διαφορὰν ἔχοντα· ἅπερ οὐδένα οἶμαι τῶν εὖ φρονούντων συνομολογεῖν· ἢ γὰρ οὐ παρέχει τοῖς ἄλλοις εἴπερ οὐ φυσικῶς ἔχει· ἢ εἴπερ διδόναι πεπίστευται, τὸ ἔχειν πάντως προωμολόγηται· τοῦτο δὲ μόνης τῆς θείας φύσεως ἴδιόν ἐστι καὶ ἐξαίρετον τὸ παρεκτικὸν ἀγαθῶν εἶναι, αὐτὸ δὲ μηδενὸς ἐπεισάκτου προσδεῖσθαι.

Ἔπειτα καὶ τοῦτο σκοπήσωμεν· τῷ ἁγίῳ βαπτίσματι τί διὰ τούτου πραγματευόμεθα· ἆρ' οὐχὶ τὸ ζωῆς μετέχειν οὐκέτι θανάτῳ ὑποκειμένης; οὐδένα ἀντειπεῖν οἶμαι τῷ λόγῳ τόν γε καὶ ὁπωσοῦν ἐν χριστιανοῖς ἀριθμούμενον· τί οὖν; ἆρ' ἐν τῷ ὕδατι ἡ ζωοποιός ἐστι δύναμις τῷ συμπαραλαμβανομένῳ πρὸς τὴν τοῦ βαπτίσματος χάριν; ἢ παντὶ δῆλον ὅτι τοῦτο μὲν τῆς σωματικῆς ἕνεκεν διακονίας παρείληπται, οὐδὲν παρ' ἑαυτοῦ πρὸς τὸν ἁγιασμὸν εἰσφερόμενον, εἰ μὴ μεταποιηθείη διὰ τοῦ ἁγιάσματος· τὸ δὲ ζωοποιοῦν τοὺς βαπτιζομένους, τὸ πνεῦμά ἐστι· καθώς φησιν ὁ κύριος περὶ αὐτοῦ τοῦτο λέγων τῇ ἰδίᾳ φωνῇ· ὅτι τὸ πνεῦμά ἐστι τὸ ζωοποιοῦν· ζωοποιεῖ δὲ οὐκ αὐτὸ μόνον εἰς τὴν τελείωσιν τῆς χάριτος ταύτης διὰ τῆς πίστεως λαμβανόμενον, ἀλλὰ χρὴ τὴν εἰς τὸν κύριον προϋποκεῖσθαι πίστιν, δι' ἧς ἡ ζωτικὴ χάρις τοῖς πιστεύσασι παραγίνεται, καθὼς εἴρηται παρὰ τοῦ κυρίου, ὅτι οὓς θέλει ζωοποιεῖ· ἀλλ' ἐπειδὴ καὶ ἡ διὰ τοῦ υἱοῦ διακονουμένη χάρις ἤρτηται τῆς ἀγεννήτου πηγῆς, διὰ τοῦτο προηγεῖσθαι τὴν εἰς τὸ ὄνομα τοῦ πατρὸς πίστιν ὁ λόγος διδάσκει, τοῦ ζωογονοῦντος τὰ πάντα, καθώς φησιν ὁ ἀπόστολος, ὡς ἂν ἐκεῖθεν ἀφορμηθεῖσαν τὴν ζωοποιὸν χάριν, καθάπερ ἐκ πηγῆς τινος τὴν ζωὴν

πηγαζούσης διὰ τοῦ μονογενοῦς υἱοῦ, ὅς ἐστιν ἡ ἀληθὴς ζωὴ, τῇ ἐνεργείᾳ τοῦ πνεύματος τελειοῦσθαι τοῖς ἠξιωμένοις· εἰ οὖν ἡ ζωὴ διὰ τοῦ βαπτίσματος, τὸ δὲ βάπτισμα ἐν ὀνόματι πατρὸς καὶ υἱοῦ καὶ πνεύματος ἁγίου τὴν τελείωσιν ἔχει, τί λέγουσιν οἱ τὸ παρεκτικὸν τῆς ζωῆς ἀντ' οὐδενὸς λογιζόμενοι; εἰ γὰρ μικρὰ ἡ χάρις, εἰπάτωσαν τὸ τῆς ζωῆς τιμιώτερον· εἰ δὲ πᾶν ὅ τί περ ἐστὶ τίμιον τῆς ζωῆς ἐστὶ δευτέρας, ἐκείνης λέγω τῆς ὑψηλῆς καὶ τιμίας, ἧ κατ' οὐδὲν ἐπικοινωνεῖ ἡ ἄλογος φύσις, πῶς τολμῶσι τὸ τηλικοῦτον χάρισμα, μᾶλλον δὲ αὐτὸ τὸ παρεκτικὸν τοῦ χαρίσματος κατασμικρύνειν ταῖς ἑαυτῶν ὑπολήψεσι, καὶ κατασπᾷν εἰς τὴν ὑποχείριον φύσιν τῆς θείας τε καὶ ὑψηλῆς διαζεύξαντες; εἶτα καὶ εἰ μικρὸν τὸ τῆς ζωῆς λέγουσι χάρισμα, ὡς μηδὲν διὰ τούτου σεμνόν τε καὶ μέγα τῇ φύσει τοῦ χαριζομένου ἐμφαίνεσθαι, πῶς οὐ λογίζονται τὸ ἀκόλουθον, ὅτι ὁ αὐτὸς ἀναγκάσει λόγος καὶ περὶ τοῦ μονογενοῦς καὶ περὶ αὐτοῦ τοῦ πατρὸς μηδὲν ὑποτίθεσθαι μέγα τῆς αὐτῆς ζωῆς, ἣν διὰ τοῦ πνεύματος ἔχομεν, διὰ τοῦ υἱοῦ παρὰ τοῦ πατρὸς χορηγουμένης;

Ὥστε εἰ μικρὸν ὑπολαμβάνουσι τὸ δῶρον οἱ καὶ τῆς ζωῆς ἑαυτῶν ὑβρισταὶ καὶ πολέμιοι, καὶ διὰ τοῦτο τὸ παρεκτικὸν τῆς χάριτος ταύτης ἀτιμάζειν ἐγνώκασι, μὴ λανθανέτωσαν οὐχ ἑνὶ προσώπῳ τὴν ἀχαριστίαν περιορίζοντες, ἀλλὰ διὰ τοῦ ἁγίου πνεύματος ἐπὶ τὴν ἁγίαν τριάδα τὴν βλασφημίαν ἐκτείνοντες· ὥσπερ γὰρ ἡ χάρις ἀδιασπάστως ἀπὸ τοῦ πατρὸς διὰ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος ἐπὶ τῶν ἀξίων ῥέουσα φέρεται, οὕτως καὶ ἡ βλασφημία εἰς τὸ ἔμπαλιν κατὰ διάδοσιν ἀναλύουσα, ἀπὸ τοῦ υἱοῦ ἐπὶ τὸν τῶν ὅλων θεὸν διεξέρχεται· εἰ γὰρ δι' ἀνθρώπου ἀθετηθέντος ὁ ἀποστείλας ἠθέτηται, καίτοι πόσον τὸ μέσον μεταξὺ τοῦ ἀνθρώπου καὶ τοῦ ἀποστείλαντος, τί χρὴ λέγειν ἡλίκην ὑποσημαίνει κατάκρισιν τοῖς κατατολμῶσι τοῦ πνεύματος; τάχα διὰ τοῦτο ἀσυγχώρητον κρίμα κατὰ τῆς τοιαύτης βλασφημίας κατὰ τοῦ νομοθέτου κεκύρωται· ἐπειδὴ πᾶσα δι' αὐτοῦ ἡ μακαρία τε καὶ θεία φύσις ἐν τῇ προαιρέσει τοῦ βλασφημοῦντος συγκαθυβρίζεται· ὥσπερ γὰρ ὁ εὐσεβῶς τὸ πνεῦμα δεξάμενος εἶδεν ἐν τῷ πνεύματι τοῦ μονογενοῦς τὴν δόξαν, τὸν δὲ υἱὸν ἰδὼν τὴν εἰκόνα εἶδε τοῦ ἀορίστου, καὶ διὰ τῆς εἰκόνος ἐνετυπώσατο τῇ γνώσει ἑαυτοῦ τὸ ἀρχέτυπον, οὕτω δηλαδὴ καὶ ὁ κατα . . . μένος καὶ καταφρονητὴς ἐπειδὰν ἀποθρασύνηται τί κατὰ τῆς δόξης τοῦ πνεύματος, διὰ τῆς αὐτῆς ἀκολουθίας ἐπὶ τὸν πατέρα διὰ τοῦ υἱοῦ τὴν βλασφημίαν ἐξέτεινε· οὐκοῦν φοβητέον τοῖς γε νοῦν ἔχουσι, μὴ κατατολμᾷν τῆς τοιαύτης θρασύτητος ἧς τὸ πέρας παντελής ἐστιν ἀφανισμὸς τοῦ τολμήσαντος· ἀλλ' ὅση δύναμις, ὑψοῦν μὲν τῷ λόγῳ τὸ πνεῦμα, ὑψοῦν δὲ καὶ πρὸ τοῦ λόγου κατὰ διάνοιαν· οὐ γὰρ δυνατόν ἐστι συναναβῆναι τῇ διανοίᾳ τὸν λόγον· καὶ ἐπειδὰν ἐπὶ τὸ ἀκρότατον φθάσῃς τῆς ἀνθρωπίνης δυνάμεως, εἰς ὅσον ὁ ἀνθρώπινος νοῦς ἐξικνεῖται ὕψος καὶ μέγεθος νοημάτων, τότε νόμιζε κάτω εἶναι τῆς ἐπιβαλλούσης ἀξίας, κατὰ τὸ εἰρημένον ἐν τῇ ψαλμῳ-

δίᾳ, ὅτι μετὰ τὸ ὑψῶσαι κύριον τὸν θεὸν ἡμῶν, τότε μόγις προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ· τό τε αἴτιον τῆς ἀκαταλήπτου ἀξίας οὐδὲν ἄλλο φησιν, ἢ ὅτι ἅγιός ἐστιν.

Εἰ οὖν πᾶν ὕψωμα δυνάμεως ἀνθρωπίνης κάτω τῆς μεγαλοπρεπείας τοῦ προσκυνουμένου ἐστὶ, τοῦτο γὰρ ὁ λόγος διὰ τοῦ ὑποποδίου τῶν ποδῶν ὑπαινίσσεται, τίς ἡ ματαιότης τῶν οἰομένων ἔχειν τινὰ δύναμιν ἐν ἑαυτοῖς τοσαύτην, ὥστε ἐπ' αὐτοῖς εἶναι τὸ κατ' ἀξίαν τῆς τιμῆς ὁρίζειν τῇ ἀτιμήτῳ φύσει; καὶ διὰ τοῦτο, καί τινων τῶν εἰς τιμὴν ἐπινοουμένων ἀνάξιον κρίνειν τὸ πνεῦμα τὸ ἅγιον, ὡς τῆς δυνάμεως αὐτῶν μείζονα δυναμένης, ἢ ὅσον χωρεῖ ἡ ἀξία τοῦ πνεύματος; ὢ τῆς ἐλεεινῆς αὐτῶν καὶ ταλαιπώρου παραπληξίας, τῶν μὴ συνιέντων αὐτοί τε τινές εἰσιν οἱ ταῦτα διαλεγόμενοι, καὶ τί τὸ πνεῦμα τὸ ἅγιον ᾧ δι' ὑπερηφανίας ἑαυτοὺς ἀντεξάγουσι· τίς εἴποι τοῖσδε λαοῖς ὅτι ἄνθρωποι εἰσὶ πνεῦμα πορευόμενον καὶ οὐκ ἐπιστρέφον, ἐν μήτρᾳ γυναικὸς διὰ ῥυπαρᾶς συλλήψεως οἰκοδομούμενοι, καὶ εἰς γῆν ῥυπαρὰν πάντες ἀναλυόμενοι, χόρτῳ προσεικασμένην τὴν ζωὴν λαχόντες; οἳ ἐπ' ὀλίγον διὰ τῆς βιωτικῆς ἀπάτης ἀνθήσαντες, πάλιν ἀποξηραίνονται, καὶ τὸ ἄνθος περὶ αὐτοὺς καταῤῥυὲν ἀφανίζεται· οὔτε τί ὄντες πρὸ τῆς γενέσεως, καὶ εἰς ὅ τι μεταχωρήσουσιν, οὐκ ἀκριβῶς ἐπιστάμενοι, τῆς ψυχῆς τὴν ἰδίαν λῆξιν, ἕως ἂν ἐπιμένῃ τῇ σαρκὶ, ἀγνοούσης· ταῦτα οἱ ἄνθρωποι.

Τὸ δὲ πνεῦμα τὸ ἅγιον πρῶτον μὲν ἀπὸ τῶν κατὰ φύσιν ἁγίων ἐκεινό ἐστιν ὅπερ ὁ πατὴρ κατὰ φύσιν ἅγιος, καὶ ὁ μονογενὴς ὡσαύτως, οὕτω καὶ τὸ πνεῦμα τὸ ἅγιον· καὶ μετὰ τὸ ζωοποιὸν πάλιν, καὶ κατὰ τὸ ἄφθαρτον τὲ καὶ ἀναλλοίωτον καὶ ἀΐδιον δίκαιον σοφὸν εὐθὲς ἡγεμονικὸν ἀγαθὸν δυνατὸν ἀγαθῶν πάντων παρεκτικὸν, καὶ πρό γε ἁπάντων αὐτῆς τῆς ζωῆς· πανταχοῦ ὂν, καὶ ἑκάστῳ παρὸν, καὶ τὴν γῆν πληροῦν, καὶ ἐν οὐρανοῖς μένον, ἐν ταῖς ὑπερκοσμίοις δυνάμεσιν ἐκχεόμενον, πάντα πληροῦν κατὰ τὴν ἀξίαν ἑκάστου, καὶ αὐτὸς πλῆρες μένον, μετὰ πάντων ὂν τῶν ἀξίων, καὶ τῆς ἁγίας τριάδος οὐ χωριζόμενον· ἀεὶ τὰ βάθη τοῦ θεοῦ ἐρευνᾷ, ἀεὶ ἐκ τοῦ υἱοῦ λαμβάνει, καὶ ἀποστέλλεται, καὶ οὐ χωρίζεται, καὶ δοξάζεται, καὶ δόξαν ἔχει· ὁ γὰρ ἄλλῳ δόξαν δίδωσι, δῆλον ὅτι ἐν ὑπερβαλλούσῃ δόξῃ καταλαμβάνεται· πῶς γὰρ δοξάζει τὸ δόξης ἄμοιρον, ἐὰν μή τι φῶς ᾖ, πῶς τὴν τοῦ φωτὸς ἐπιδείξεται χάριν; οὕτως οὐδὲ τὴν δοξαστικὴν δύναμιν ἐπιδείξεται, ὃ ἂν μὴ αὐτὸ ᾖ δόξα καὶ τιμὴ καὶ μεγαλωσύνη καὶ μεγαλοπρέπεια· δοξάζει οὖν τὸν πατέρα καὶ τὸν υἱὸν τὸ πνεῦμα· ἀλλ' ὁ εἰπὼν ἀψευδής ἐστι, τοὺς δοξάζοντάς με δοξάζω· ἐγώ σε ἐδόξασα, φησὶ πρὸς τὸν πατέρα ὁ κύριος· καὶ πάλιν, δόξασόν με τῇ δόξῃ ᾗ εἶχον ἀπ' ἀρχῆς παρὰ σοὶ πρὸ τοῦ τὸν κόσμον εἶναι· ἀποκρίνεται ἡ θεία φωνή· καὶ ἐδόξασα, καὶ πάλιν δοξάσω· ὁρᾷς τὴν ἐγκύκλιον τῆς δόξης διὰ τῶν ὁμοίων περιφορὰν; δοξάζεται ὁ υἱὸς ὑπὸ τοῦ πνεύματος· δοξάζεται ὑπὸ τοῦ υἱοῦ ὁ πατήρ· πάλιν τὴν δόξαν ἔχει

παρὰ τοῦ πατρὸς ὁ υἱός· καὶ δόξα τοῦ πνεύματος ὁ μονογενὴς γίνεται· τίνι γὰρ ἐνδοξασθήσεται ὁ πατὴρ εἰ μὴ τῇ ἀληθινῇ τοῦ μονογενοῦς δόξῃ; ἐν τίνι δὲ πάλιν ὁ υἱὸς δοξασθήσεται, εἰ μὴ ἐν τῇ μεγαλωσύνῃ τοῦ πνεύματος; οὕτω πάλιν καὶ ἀνακυκλούμενος ὁ λόγος τὸν υἱὸν μὲν δοξάζει διὰ τοῦ πνεύματος, διὰ δὲ τοῦ υἱοῦ τὸν πατέρα.

Εἰ οὖν τοσαύτη τοῦ πνεύματος ἡ μεγαλωσύνη, καὶ εἴ τι καλὸν, καὶ εἴ τι ἀγαθὸν παρὰ τοῦ θεοῦ διὰ τοῦ μονογενοῦς, ἐν τῷ πάντα ἐν πᾶσιν ἐνεργοῦντι πνεύματι τελειοῦται· τί ἐκπολεμοῦσιν ἑαυτῶν τῇ ἰδίᾳ ζωῇ; τί ἀπαλλοτριοῦνται τῆς τῶν σωζομένων ἐλπίδος; τί ἀποκόπτουσιν ἑαυτῶν ἀπὸ τῆς πρὸς τὸν θεὸν προσκολλήσεως; πῶς γάρ τις προσκολληθήσεται τῷ κυρίῳ, μὴ τοῦ πνεύματος τὴν συνάφειαν ἡμῶν πρὸς αὐτὸν ἐνεργοῦντος; τί ζυγομαχοῦσι πρὸς ἡμᾶς περὶ λατρείας καὶ προσκυνήσεως; τί κατηρωνεύονται διὰ τῆς λατρείας ὀνόματος κατὰ τῆς θείας τε καὶ ἀπροσδεοῦς φύσεως, ἐὰν σωθῆναι θελήσωσι; σὸν κέρδος ἐστὶ τοῦ αἰτοῦντος ἡ δέησις, οὐχὶ τιμὴ τοῦ παρέχοντος· τί οὖν ὡς χαριζόμενος πρόσῃ τῷ εὐεργέτῃ; μᾶλλον δὲ οὐδὲ εὐεργέτην τὸν τῶν ἀγαθῶν παρεκτικὸν ἀξιοῖς ὀνομάζειν; ἀλλὰ τοῦ ζῆν ἀντεχόμενος τὸν ζωοποιὸν ἀτιμάζεις; καὶ τὸν ἁγιασμὸν ζητῶν, παραλογίζῃ τὸν τὴν χάριν τοῦ ἁγιασμοῦ διανέμοντα; καὶ τὸ διδόναι τὰ ἀγαθὰ οὐκ ἀρνούμενος αὐτὸν ἔχειν τὴν δύναμιν, τοῦ αἰτεῖσθαι κρίνεις ἀνάξιον; οὐδὲ τοῦτο λογιζόμενος ὅσῳ μεῖζόν ἐστι τὸ δοῦναι τί ἀγαθὸν, τοῦ αἰτηθῆναι· τῷ μὲν γὰρ αἰτηθέντι, οὐ πάντως προσμαρτυρεῖ τὸ μεγαλεῖον ἡ αἴτησις· δυνατὸν γάρ ἐστιν αἰτηθῆναί τι καὶ τὸν μὴ ἔχοντα· ἐπὶ γὰρ τῇ προαιρέσει τοῦ αἰτοῦντός ἐστι· ὁ δὲ παρασχὼν τί ἀγαθὸν ἀναμφίβολον τῆς προσούσης αὐτῷ δυνάμεως πεποίηται τὴν ἐπίδειξιν· τί οὖν τὸ μεῖζον αὐτῷ προσμαρτυρῶν, λέγω δὲ τὸ δύνασθαι διδοῦναι πᾶν ὅ τι καλὸν, ὡς μεγάλου τινὸς ἀποστερεῖς τῆς αἰτήσεως; καίτοι τοῦτο πολλάκις, καθὼς εἴρηται, καὶ ἐπὶ τῶν οὐδενὸς κυρίων δι' ἀπάτης τοῦ προσιόντος γίνεται· αἰτοῦσι καὶ παρὰ τῶν εἰδώλων οἱ τῆς ματαιότητος δοῦλοι τὰ κατὰ γνώμην αὐτοῖς· ἀλλ' οὐ περὶ τοῦτο δόξαν τινὰ προστίθησι τοῖς εἰδώλοις ἡ αἴτησις· κἀκεῖνο καὶ δι' ἀπάτης αὐτῶν παρέχοντες προσδοκίᾳ τοῦ μετασχεῖν τινος ὧν ἐλπίζουσιν, αἰτοῦντες οὐ διαλείπουσι· σὺ δὲ πεπεισμένος οἵων καὶ ὅσων παρικτικόν ἐστι τὸ πνεῦμα τὸ ἅγιον ὑπερορᾷς τῆς αἰτήσεως; καὶ καταφεύγεις ἐπὶ τὸν νόμον τὸν κελεύοντα κύριον τὸν θεὸν προσκυνεῖν, καὶ αὐτῷ μόνῳ λατρεύειν;. πῶς οὖν αὐτῷ μόνῳ λατρεύσεις, εἰπέ μοι, ἀποσχίσας αὐτὸν τῆς πρὸς τὸν μονογενῆ καὶ τὸ πνεῦμα ἑαυτοῦ συναφείας; ἀλλ' αὕτη ἰουδαϊκὴ ἡ προσκύνησις.

Ἀλλ' ἐρεῖς ὅτι πατέρα ἐννοῶν, καὶ τὸν υἱὸν τῇ προσηγορίᾳ συμπεριέλαβον· τὸν δὲ υἱὸν, εἰπέ μοι, τῇ διανοίᾳ λαβὼν, ἆρ' οὐ συμπαρεδέξω καὶ τὸ πνεῦμα τὸ ἅγιον; οὐκ ἂν ἀντείποις· πῶς γὰρ αὐτὸν ὁμολογήσεις, μὴ ἐν πνεύματι ἁγίῳ; πότε οὖν τοῦ υἱοῦ τὸ πνεῦμα χωρίζεται, ὥστε τοῦ πα-

τρὸς προσκυνουμένου, μὴ συμπαραλαμβάνεσθαι μετὰ τοῦ υἱοῦ καὶ τοῦ πνεύματος τὴν προσκύνησιν; αὐτὴν δὲ τὴν προσκύνησιν τί ποτε εἶναι λογίζονται; ἣν ὡς ἐξαίρετόν τι γέρας τῷ ἐπὶ πάντων θεῷ χαριζόμενοι, καὶ ἕως τοῦ μονογενοῦς ἐσθ' ὅτε τὴν τιμὴν ταύτην διαβιβάζοντες, ἀπαξιοῦσι τὸ πνεῦμα τοῦ τοιούτου γέρως· ἡ μὲν γὰρ ἀνθρωπίνη συνήθεια τὴν πρὸς τὸ ἔδαφος τῶν ὑποχειρίων ἐπίκλισιν, ἣν ἀσπαζόμενοι τοὺς δυνατωτέρους ἐπιτηδεύουσι, τοῦτο προσαγορεύει προσκύνησιν· καθὼς φαίνεται καὶ ὁ πατριάρχης Ἰακὼβ τοῦ ἀδελφοῦ τὴν ὀργὴν ἱλεούμενος τὸ καταδεέστερον ὑπὸ ταπεινοφροσύνης διὰ τοῦ τοιούτου σχήματος ἐν τῇ ὑπαντήσει πρὸς αὐτὸν ἐπιδείκνυσθαι· προσεκύνησε γάρ φησι τρίτον ἐπὶ τὴν γῆν· καὶ οἱ τοῦ Ἰωσὴφ ἀδελφοὶ, ἕως αὐτοί τε ἠγνόουν, κἀκεῖνος τὴν ἄγνοιαν πρὸς αὐτοὺς ὑπεκρίνετο, διὰ τὸ ὑπερέχον τοῦ ἀξιώματος, τῇ προσκυνήσει τὴν δυναστείαν ἐτίμησαν· προσκυνεῖ δὲ ὁ μέγας Ἀβραὰμ τοὺς Χετταίους τοὺς ἐγχωρίους ὁ ἔπηλυς· δεικνὺς οἶμαι δι' ὧν ἐποίει, ὅσον οἱ αὐτόχθονες τῶν παροικούντων ἐπικρατέστεροι· καὶ πολλὰ τοιαῦτα λέγειν ἐστὶν ἔκ τε τῶν ἀρχαίων διηγημάτων, καὶ ἐκ τῶν παρόντων τοῦ βίου ὑποδειγμάτων.

Ἆρ' οὖν τοῦτο νοοῦσι καὶ αὐτοὶ τὴν προσκύνησιν; καὶ πῶς οὐ καταγέλαστον τὸ μήτε τούτου οἴεσθαι δεῖν ἀξιοῦν τὸ πνεῦμα τὸ ἅγιον οὗ καὶ τοὺς Χαναναίους ὁ πατριάρχης ἠξίωσεν; ἢ ἄλλην τινὰ παρὰ ταύτην νομίζουσι τὴν προσκύνησιν, ὡς τὴν μὲν ἀνθρώποις, τὴν δὲ τῇ ὑπερεχούσῃ φύσει προσήκουσαν; πῶς οὖν καθόλου τὴν προσκύνησιν ἀθετοῦσιν ἐπὶ τοῦ πνεύματος, μηδὲ τὴν ἐπὶ τῶν ἀνθρώπων συγκεχωρημένην αὐτῷ χαριζόμενοι; τίνα δὲ καὶ νομίζουσιν ἰδίως ἀποτετάχθαι τῷ θεῷ προσκυνήσεως τρόπον; τὸ εἰπεῖν τῷ ῥήματι, ἢ τὸ ἐνεργῆσαι τῷ σχήματι; ἢ ταῦτα μὲν καὶ πρὸς ἀνθρώπους ἐστὶ κοινά· καὶ γὰρ λέγεται καὶ ἐπ' ἀνθρώπων τὰ ῥήματα καὶ ἐνεργεῖται τὰ σχήματα· τί οὖν ἐπὶ θεοῦ τὸ ἐξαίρετον; ἢ παντὶ δῆλον τῷ καὶ ὁποσονοῦν διανοίας μετέχοντι, ὅτι θεοῦ μὲν ἄξιον δῶρον ἡ ἀνθρωπίνη φύσις ἔχει οὐδέν· τῶν γὰρ ἀγαθῶν ἡμῶν ὁ ποιητὴς ἡμῶν χρείαν οὐκ ἔχει· ἡμεῖς δὲ οἱ ἄνθρωποι τὰς τιμητικὰς ταύτας καὶ ἀγαπητικὰς ἐνδείξεις, ἃς ἐπ' ἀλλήλων ποιούμεθα, ἕτερον τοῦ ἑτέρου ταπεινότερον εἶναι τῇ ὁμολογίᾳ τῆς τοῦ πέλας ὑπεροχῆς ἐνδεικνύμενοι, ταύτας μετηνέγκαμεν εἰς τὴν θεραπείαν τῆς κρείττονος φύσεως τῶν ἐν ἡμῖν τὰ τίμια, τῇ ἀτιμήτῳ φύσει δωροφοροῦντες· καὶ διὰ τοῦτο ἐπειδὴ προσιόντες βασιλεῦσιν ἢ δυνάσταις οἱ ἄνθρωποι ὑπὲρ ὧν ἂν γενέσθαι τί αὐτοῖς παρὰ τῶν δυναστευόντων θελήσωσι, οὐ ψιλὴν προσάγουσι τοῖς κρατοῦσι τὴν αἴτησιν, ἀλλ' ὡς ἂν μάλιστα πρὸς οἶκτον καὶ εὔνοιαν ἑαυτῶν ἐπαγάγοιντο, ταπεινοῦνται τῷ λόγῳ, καὶ προσκυνοῦσι τῷ σχήματι, καὶ γονάτων ἅπτονται, καὶ εἰς ἔδαφος πίπτουσι, καὶ διὰ πάντων οἰκτιζόμενοι συνήγορον τῆς αἰτήσεως ἑαυτῶν προβάλλονται· δι' ὧν ποιοῦσι τὸν ελ . . . διὰ τοῦτο οἱ τὴν ἀληθῆ δυναστείαν ἐπιγνωκότες· δι' ἧς πάντα διοικεῖται τὰ ὄντα . . . τες ὑπὲρ ὧν ἂν ᾖ φίλον αὐτοῖς· οἱ μὲν ταπεινοὶ τὰς ψυ-

χὰς παρὰ τῶν ἐν τῷ κόσμῳ τούτῳ . . . ζομένων· οἱ δὲ ὑψηλοὶ τὴν διάνοιαν παρὰ τῶν αἰωνίων καὶ ἀποῤῥήτων ἐλπίδων ἐπειδὴ οὐκ ἔχουσιν πῶς αἰτήσωσιν, οὐδὲ χωρεῖ ἡ ἀνθρωπίνη φύσις ἐνδείξασθαί τινα τιμὴν πρὸς τὴν μεγαλοπρέπειαν τῆς δόξης φθάνουσαν, μετήνεγκε τὴν ἐπὶ τῶν ἀνθρώπων νενομισμένην θεραπείαν εἰς τὴν τοῦ θείου τιμήν· καὶ τοῦτο ἐστὶν ἡ προσκύνησις, ἡ μετὰ ἱκεσίας καὶ ταπεινότητος τῶν καταθυμίων τινὸς αἰτήσεως γινομένη· διὸ καὶ Δανιὴλ κάμπτει τῷ κυρίῳ τὰ γόνατα, ἐπὶ τοῦ αἰχμαλώτου λαοῦ τὴν φιλανθρωπίαν αἰτούμενος· καὶ ὁ τὰς ἀσθενείας ἡμῶν βαστάσας, καὶ ὑπὲρ ἡμῶν ἐντυγχάνων, διὰ τοῦ ἀνθρώπου ὃν ἀνέλαβε προσπίπτειν ἐπὶ τὸ πρόσωπον ἐν καιρῷ προσευχῆς ὑπὸ τοῦ εὐαγγελίου ἱστόρηται· καὶ τούτῳ τῷ σχήματι τὴν εὐχὴν ἐποιεῖτο· νομοθετῶν οἶμαι τῇ ἀνθρωπίνῃ ζωῇ, τὸ μὴ ἀπαυθαδιάζεσθαι ἐπὶ τοῦ καιροῦ τῆς αἰτήσεως, ἀλλὰ διὰ πάντων πρὸς τὸ ἐλεεινὸν μεθαρμόζεσθαι· ἐπειδὴ κύριος ὑπερηφάνοις ἀντιτάσσεται, ταπεινοῖς δὲ δίδωσι χάριν· καί πη ὁ ὑψῶν ἑαυτὸν ταπεινωθήσεται. Εἰ οὖν ἡ προσκύνησις οἷον ἱκετηρία τίς ἐστι, εἴτε συνηγορία προβεβλημένη τοῦ σκοποῦ τῆς αἰτήσεως, ἡ δὲ αἴτησις πρὸς τὸν τῆς δυνάμεως κύριον γίνεται, τίς ἡ διάνοια τῆς καινῆς ταύτης νομοθεσίας; οὐδὲ . . . παρὰ τοῦ διδόντος αἰτεῖν, μήτε ὑποκύπτειν τῷ ἄρχοντι, μήτε θεραπεύειν τὸν δυναστεύοντα. . . . . .

Reliqua desiderantur.

S. Silvestri I. papae opus incognitum adversus Iudaeos laudat apud nos Leontius hierosol. p. 134, paucis verbis in medium prolatis. Nunc ecce eiusdem operis paulo maiorem sectionem in catena inedita ad Lucae evangelium observavi, eamque heic recitare pretium operae indico.

ΣΙΛΒΕΣΤΡΟΥ.

Εἰ δέ τισιν ἀδύνατον δοκεῖ ἐν ἑνὶ δύο εἶναι τινὰ, καὶ ἅμα μὲν κατέχεσθαι, ἅμα δὲ σταυροῦσθαι, καὶ τὸ ἓν τούτων ὑπομένειν τὴν ὕβριν, ἀνθρωπίνῳ ὑποδείγματι τοῦτο ἀποδεῖξαι πειράσομαι· ἡ βασιλικὴ πορφυρὶς, ἔριον ἦν· τούτῳ μιγὲν τῆς κογχύλης τὸ αἷμα, χροιὰν πορφυρέαν αὐτῷ παρέσχεν· ὅτε οὖν ἐνήθετο τοῖς δακτύλοις, καὶ ἐκυκλώθετο γινόμενον στήμων, ποῖον ἄρα τὴν στρέψιν ὑπέμενε; τὸ ἔριον ἢ ἡ βαφή; δῆλον ὅτι τὸ ἔριον· χρὴ τοίνυν ὁμοιῶσαι τῷ μὲν ἐρίῳ τὸν ἄνθρωπον, τῇ δὲ πορφυρέᾳ χροιᾷ τὸν θεὸν λόγον, ὃς ἥνωτο ἐν τῷ πάθει τῷ σταυρῷ, ἀλλὰ τῷ πάθει παντελῶς οὐχ ὑπέπεσεν. Εἰ δὲ οὐκ ἀρκεῖ τὸ ῥηθὲν ὑπόδειγμα, προσθήσω καὶ ἕτερον. Δυνατόν ἐστι δένδρον ἔχον ἐν ἑαυτῷ τὴν ἀκτῖνα τοῦ ἡλίου τμηθῆναι· ἐν τῷ οὖν τέμνεσθαι, θεωροῦμεν ὅτι τὴν πληγὴν τοῦ τέμνοντος σιδήρου ἡ ἀκτὶς πρώτη ὑποδέχεται πρὶν ἢ τὸ ξύλον ὑποδέξασθαι· ἀλλ' ἡ λαμπεδὼν, καίτοι ἐκεῖ οὖσα, οὔτε τμηθῆναι οὔτε διακοπῆναι δύναται· οὕτω οὖν καὶ ἡ θεότης οὔτε χωρισθῆναι ἠδύνατο οὔτε τμηθῆναι καὶ παθεῖν· τοῦτο δὲ ὑπέπεσε τῷ πάθει, ὃ καθάπερ ξύλον καὶ δεθῆναι ἠδύνατο καὶ κρατηθῆναι. Καὶ ταῦτα μὲν τὰ ὑποδείγματα εἴρηται εὐτελῆ παρ' εὐτελοῦς καὶ θνητοῦ ἀνθρώπου, ἀμυδράν τινα ἔννοιαν τῆς φρικτῆς οἰκονομίας παραστῆσαι τοῖς πιστοῖς ὀφείλοντα· οὐ μὴν δυνατὸν τοῦ παντὸς ἐφικέσθαι, ὅτι μηδὲ δύναται κτιστὴ φύσις καταλαμβάνειν τὴν ἄκτιστον καὶ ἀκατάληπτον οὐσίαν ἐκείνην τοῦ λόγου, ὃς τούτου ἕνεκεν ἀναλαβεῖν σάρκα ἐκ τοῦ ἡμετέρου φυράματος κατηξίωσεν, ἵνα ἡμᾶς θείας κοινωνοὺς ἀπεργάσηται φύσεως, καὶ ἑνώσῃ ἑαυτῷ τὴν ἡμετέραν φύσιν· ἕνωσιν δέ φημι ἀσύγχυτον καὶ ἄτρεπτον καὶ ἀναλλοίωτον καὶ ἣν ἐπίσταται μόνος αὐτός.

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΕΡΙ ΤΗΣ ΑΓΙΑΣ ΚΑΙ ΖΩΟΠΟΙΟΥ ΤΡΙΑΔΟΣ. (1)

Ἔδει μὲν πάντας τοὺς τῇ προσηγορίᾳ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ λαμπρυνομένους, καὶ πρόβατα εἶναι σεμνυνομένους τοῦ τὴν ψυχὴν τεθεικότος ποιμένος ὑπὲρ ἡμῶν, τῆς τοῦ ποιμένος ἀκούειν φωνῆς, καὶ τὴν ὑπ' ἐκείνου δεικνυμένην νέμεσθαι πόαν, καὶ τοῖς τῆς εὐαγγελικῆς πίστεως ὅροις καὶ νόμοις ἐμμένειν, καὶ τὴν ἁπλῆν τῶν ἀποστόλων στέργειν διδασκαλίαν· ἐπειδὴ δὲ πολλοὶ πληγέντες τύφῳ, καὶ δόξης κενῆς ἐρασθέντες, καὶ ἑαυτοὺς ἀγνοήσαντες, τὰ τῆς πεπλανημένης αὐτῶν ἐννοίας κυήματα, τῆς θεοπνεύστου διδασκαλίας προυτίμησαν, καὶ τῆς εὐθείας εἰς τὴν ἄνω πόλιν ἀγούσης ὁδοῦ παρατραπέντες, εἰς πολυσχεδεῖς καὶ θανατηφόρους ἐχώρησαν ἀτραπούς, πάντες μὲν ὁμοίως πλανώμενοι, οὐ τὴν αὐτὴν δὲ τῆς πλάνης ὁμοίως μετιόντες ὁδὸν, ἀλλὰ διαφόρως τῇ τῶν λογισμῶν ἀκολουθοῦντες ἀπάτῃ, ἡγοῦμαι πρέπειν τοῖς τὴν βασιλικὴν καὶ τετριμμένην ὑπὸ τῶν εὐσεβῶν ὁδεύουσιν, ἐλεεῖν τε τοὺς πλανωμένους, καὶ τὴν ἀπάτην γυμνοῦν, καὶ τὴν εὐσέβειαν ὑποδεικνῦναι, καὶ ἐποδηγεῖν τοὺς ἑπομένους, καὶ τῆς ἑκατέρωσε παρατροπῆς ἀπείργειν, ἕως ἂν τὴν βασιλίδα πόλιν καταλάβωσι.

(1) Hoc opusculum prorsus differt a thesauro eiusdem Cyrilli edito, in quo pariter agitur de S. Trinitate, sed alia ratione et scopo, ut mox dicetur.

ΚΕΦΑΛΑΙΟΝ Α.

Ὅτι περὶ πολλοῦ ποιεῖται ὁ θεὸς τῶν ἀνθρώπων σωτηρίαν.

Τούτου γὰρ χάριν καὶ ὁ τῶν ὅλων σωτὴρ εἰς τὴν οἰκουμένην ἀπέστειλε τῶν ἀποστόλων τὸν ἱερὸν χορὸν, ἵνα ταῖς ἀκτῖσι τῆς θεογνωσίας τοὺς ἐν τῷ σκότει τῆς ἀγνοίας συντεθραμμένους φωτίσωσιν; ἵνα τὰ διασκεδασμένα πρόβατα καὶ τοῖς λύκοις προκείμενα συναγάγωσί τε καὶ ποιμάνωσιν ἐμμελῶς, ἵνα τὴν ἀγριέλαιον εἰς καλλιέλαιον τῇ τοῦ πνεύματος μεταβάλλωσι τέχνῃ, ἵνα τοὺς κρυπτομένους τῷ βυθῷ τῆς ἀσεβείας, τῷ τῆς διδασκαλίας ἁλιεύσωσι λόγῳ· ἐπειδὴ τοίνυν καὶ τῷ ποιητῇ τῶν ἀνθρώπων πάντων ἥδιστον τῶν ἀνθρώπων ἡ σωτηρία, καὶ τῇ φύσει δὲ δοκεῖ τὸ τῷ πέλας ἐπαμύνειν δεομένῳ κηδεμονίας, τὸ δοθὲν ἡμῖν ὑπὸ τοῦ κυρίου τῆς γνώσεως τάλαντον ἐπὶ τοὺς τραπεζίτας καὶ ἡμεῖς καταβάλλωμεν, ἵνα μὴ τῷ ἀργῷ συγκαταδικασθῶμεν οἰκέτῃ· καὶ τῶν θείων δογμάτων τὴν διδασκαλίαν προθήσομεν, τοῖς τε εἰδόσιν εἰς ἀνάμνησιν, καὶ τοῖς ἀγνοοῦσιν εἰς μάθησιν.

ΚΕΦΑΛΑΙΟΝ Β.

Τίς ὁ χαρακτὴρ τοῦ ἐκκλησιαστικοῦ λόγου.

Κηρυττέτω δὲ τὴν εὐαγγελικὴν ὁ λόγος πίστιν ἁπλοϊκῶς οὕτω καὶ διδασκαλικῶς, μὴ διαλεκτικῶς, μηδ' ἀντιλογικῶς, ἀλλ' ἐκ κλήσεως θεοῦ προσφόρως, κατανυκτικῶς μὴ ἐπιδεικτικῶς, διδακτικῶς μὴ δικανικῶς, τεχνολογίας ἀπηλλαγμένος, θεολογίᾳ κεχρημένος· μὴ πολυπραγμονῶν τὰ ἀνέφικτα, μὴ ἐρευνῶν τὰ ἀπερινόητα, μὴ νῷ καὶ λόγῳ τὰ ἀχώρητα περιγράφων, μὴ τεχνικαῖς τὸν ἀριστοτέχνην ὑποβάλλων μεθόδοις, μὴ

τὴν πίστιν ἐῶν, καὶ τὴν ἀπόδειξιν ἀπατῶν· τοῖς ἁλιεῦσιν ἑπόμενος, τὸν σκυτοτόμον ἰχνηλατῶν, ὑπὸ τοῦ τελώνου ποδηγούμενος, τῷ προφητικῷ καταυγαζόμενος λύχνῳ, τῷ εὐαγγελικῷ φωτιζόμενος ἡλίῳ, μηδὲν τῶν οἰκείων λογισμῶν ἀναμιγνὺς, πάντα δὲ τὰ τοῦ παναγίου πνεύματος ὑφαίνων διδάγματα.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Ὅτι ὡς πρὸς εὐσεβεῖς ἡ διδασκαλία γενήσεται.

Οὗτος γὰρ τῆς θείας διδασκαλίας ὁ ὅρος· τὰς μὲν οὖν αἱρετικὰς βλασφημίας ἐν ἑτέροις ἤδη συγγράμμασιν διηλέγξαμεν (1), χωρὶς ἑκάστην διαλαβόντες, καὶ τοῦ τῆς ἀπάτης γυμνώσαντες προκαλύμματος, καὶ γυμνὴν δείξαντες τὴν ἀσέβειαν· νῦν δὲ θεοῦ διδόντος τοῖς τροφίμοις τῆς πίστεως τὰ τῆς ἐκκλησίας θεόσδοτα προθήσομεν δόγματα· μήτε τῷ μήκει τοῦ λόγου κόρον τοῖς ἐντυγχάνουσιν ἐπεισάγοντες, μήτε τῇ βραχυλογίᾳ τὴν ἀκρίβειαν παραφθείροντες, ἀλλ' ἀμφοτέρων τῶν ἄκρων τὴν μέσην αἱρούμενοι· ἵνα μήτε τῷ πλήθει τοὺς ἀκούοντας ἀποκναίσωμεν, καὶ σαφῆ τὴν διδασκαλίαν τῆς θεογνωσίας προσοίσωμεν· ἄρξομαι δὲ ἄνωθεν πρὸς αὐτὴν δραμὼν τῶν ἀγαθῶν τὴν πηγήν.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Ὁποίας δεῖ διαλήψεις ἔχειν περὶ τοῦ θεοῦ καὶ πατρός.

Ἡμεῖς, ὦ τῆς τριάδος ἐρασταὶ καὶ προσκυνηταὶ καὶ κήρυκες μεγαλόφωνοί τε καὶ μεγαλόφρονες, πιστεύομεν εἰς ἕνα θεὸν πατέρα ἄναρχον καὶ ἀγέννητον, ἀεὶ ὄντα πατέρα, οὐχ' ὕστερον τοῦτο κτησάμενον, οὐ γὰρ ἦν ὅτε οὐκ ἦν, ἀλλ' ἄνωθεν ἦν πατήρ.

(1) Scilicet in thesauri libris editis, quibus haereticos refutavit. Nunc fidei simplicem spondet orthodoxis expositionem Cyrillus.

οὐδὲ γέγονε πρῶτον υἱὸς, εἶτα πατὴρ κατὰ τὴν τῶν σωμάτων ἀκολουθίαν, ἀλλ' ἀφ' οὗπερ ἐστὶν, ἀεὶ δέ 'στι, πατὴρ κα' ἔστι καὶ καλεῖται.

ΚΕΦΑΛΑΙΟΝ Ε.

Ὁποῖα δεῖ περὶ τοῦ υἱοῦ φρονεῖν.

Πιστεύομεν εἰς ἕνα υἱὸν συναΐδιον τῷ γεννήσαντι, οὐκ ἀρχὴν τοῦ εἶναι λαβόντα, ἀλλ' ἀεὶ ὄντα, καὶ σὺν πατρὶ ὄντα· ἀφ' οὗ γὰρ πατὴρ, ἀεὶ δὲ πατὴρ, ἐξ ἐκείνου υἱός· ἀχωρίστως γὰρ ἔχει ταῦτα πρὸς ἄλληλα, τά τε ὀνόματα, καὶ τὰ πράγματα· εἰ οὐκ ἀεὶ δὲ ὁ υἱὸς, ἀλλ' ἦν ὅτε οὐκ ἦν, οὐδὲ ἀεὶ ὁ πατήρ· ἀφ' οὗ γὰρ ἐγέννησε, τοῦτο ἔχει τὸ ὄνομα. εἰ δὲ ἀεὶ ὁ θεὸς, καὶ πατὴρ (βλάσφημον γὰρ τῷ ὄντι, ὑπὸ χρόνους ποιῆσαι τὸν τῶν χρόνων ποιητὴν, καὶ χρονικοῦ διαστήματος ἀποφῆναι δευτέραν τὴν ἄχρονον καὶ ὑπὲρ χρόνον γέννησιν) ἀεὶ ὁ υἱὸς, ἐκ τοῦ πατρὸς μὲν ἀῤῥήτως γεννηθεὶς, μετὰ τοῦ πατρὸς δὲ ἀεὶ ὢν, καὶ σὺν τῷ πατρὶ γνωριζόμενος.

ΚΕΦΑΛΑΙΟΝ ϛ.

Ὅτι τὸν υἱὸν τῷ πατρὶ συναΐδιον διδάσκουσιν αἱ γραφαί.

Ἐν ἀρχῇ, φησὶν, ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν, καὶ θεὸς ἦν ὁ λόγος· οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν θεόν· ὁ δὲ ἐν ἀρχῇ ὢν, πότε οὐκ ἦν; οὔτε γὰρ εἶπεν, ὅτι ἐν ἀρχῇ ἐγένετο, ἀλλ' ἐν ἀρχῇ ἦν· οἷον ἂν φιλονεικήσωμεν τοῖς λογισμοῖς ὑπερβῆναι τὸ ἦν, ἐπέκεινα γενέσθαι τῆς ἀρχῆς οὐκ ἰσχύομεν· πάντα δεύτερα τοῦ ἐν ἀρχῇ ὄντος, καὶ χρόνος, καὶ αἰὼν, καὶ εἴ τι ἂν ἕτερον χρονικὸν ἐπινοηθείη διάστημα· εἰ δὲ οὐκ ἀεὶ τῷ θεῷ καὶ πατρὶ συνῆν ὁ υἱὸς, ὕστερον δέ ποτε προσεγένετο, ἀνάγκη χρό-

νον καὶ αἰῶνα πατρὶ καὶ υἱῷ μεσιτεύειν· εἰ δὲ τοῦτο δοίη τις, εὑρεθήσεται τὸ ποίημα τοῦ ποιητοῦ προϋπάρχον· πάντα γὰρ, φησὶν ὁ εὐαγγελιστὴς, διὰ τοῦ υἱοῦ ἐγένετο, καὶ χωρὶς αὐτοῦ ἐγένετο οὐδὲ ἕν· ἓν δὲ τῶν πάντων ὁ αἰὼν ἢ ὁ χρόνος· καὶ ὁ μακάριος δὲ Παῦλος ἐπ' ἐσχάτων, φησὶ, τῶν ἡμερῶν, ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν· εἰ δὲ τοῦ υἱοῦ οἱ αἰῶνες ποιήματα, οὐ προϋπάρχουσι τοῦ ποιήσαντος· αἰώνων δὲ μὴ ὑπαρχόντων, εὔδηλον ὡς οὐδὲ ὁ χρόνος, ὃν ἡμέραι τε καὶ νύκτες ποιοῦσι καὶ μετροῦσιν· ἡμέρας δὲ καὶ νύκτας ἡ τοῦ φωτὸς ἀνατολὴ καὶ δύσις ἐργάζεται· τὸ δὲ φῶς μετὰ τὸν οὐρανὸν, καὶ τὴν γῆν, καὶ τὸν ἀέρα ἐγένετο· ταῦτα δὲ πάντα, καὶ τὰ ἐν τούτοις, ὁ θεὸς λόγος εὐδοκίᾳ τοῦ πατρὸς ἐδημιούργησε λόγῳ.

Τοίνυν τῶν χρόνων καὶ τῶν αἰώνων μετὰ τῶν ἄλλων ἁπάντων ποιηθέντων ὑπὸ τοῦ λόγου, οὐδὲν ἂν ἦν μεταξὺ πατρὸς καὶ υἱοῦ, ἀλλ' ἀεὶ μὲν πατὴρ ὁ θεὸς, ἀεὶ δὲ ὁ υἱὸς σὺν πατρί· διὸ καὶ ὁ εὐαγγελιστὴς ἐν ἀρχῇ ἦν ὁ λόγος βοᾷ. Καὶ ὁ ἀπόστολος Παῦλος φησί· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ. Καὶ ἑτέρωθεν· ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ' ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ· καὶ οὔτε ἐκεῖνος τὸ ἦν, οὔτε οὗτος τὸ ὢν καὶ ὑπάρχων, ἐᾷ· ἐπειδὴ τὸν ἀεὶ ὄντα κηρύττουσιν· οὗ χάριν καὶ μετ' ὀλίγα ὁ εὐαγγελιστής· ζωὴ ἦν, φησὶ, καὶ ἡ ζωὴ ἦν τὸ φῶς τῶν ἀνθρώπων. Καὶ αὖθις· ἦν τὸ φῶς τὸ ἀληθινὸν ὃ φωτίζει πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. Καὶ πάλιν· ὁ μονογενὴς υἱὸς ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρός. Καὶ ἐν τῇ ἐπιστολῇ· ὃ ἦν, φησὶν, ἀπ' ἀρχῆς. Οὕτω θεολογεῖν ὑπὸ τοῦ θείου πνεύματος τὸν μονογενῆ τοῦ θεοῦ λόγον ἐδιδάχθησαν οἱ ἐξ ἀρχῆς αὐτόπται καὶ ὑπηρέται τοῦ λόγου γενόμενοι· διὸ οὐ συνηρίθμησαν τῇ κτίσει τὸν κτίσαντα, οὐ συνέταξαν τὸν ποιητὴν τοῖς ποιήμασιν· οὐδαμοῦ κτίσμα τὸ τίμιον τοῦ θεοῦ προσηγόρευσαν γέννημα· οὐδαμοῦ τὸ ἐγένετο συνέζευξαν τῇ θεότητι· ἀλλ' οὗτος μὲν, ἐν ἀρχῇ ἦν ὁ λόγος· οὐκ ἐν ἀρχῇ ὁ λόγος ἐγένετο·

ἐκεῖνος δὲ, ὡς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως· οὐκ, ἐγένετο ἀπαύγασμα καὶ χαρακτήρ. Καὶ πάλιν· ὅς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐ μορφὴ Θεοῦ γενόμενος, ἀλλ' ὑπάρχων ἐν θεοῦ μορφῇ. Καὶ ἑτέρωθι· ὅς ἐστιν εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου· οὐκ εἶπεν, ὃς ἐγένετο εἰκὼν τοῦ θεοῦ τοῦ ἀοράτου, ἀλλ' ὅς ἐστίν.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

Ἀπόδειξις ἐκ τῆς παλαιᾶς, ὅτι ἀΐδιος ὁ υἱός.

Οὕτω τῇ θεολογίᾳ πανταχοῦ συνέζευκται τὸ ἦν, καὶ τὸ ὤν, καὶ τὸ ὑπάρχων, καὶ τὸ ἐστίν· οὕτω τῷ μεγάλῳ Μωϋσῇ ἑαυτὸν διαλεγόμενος προσηγόρευσεν· ἐγώ εἰμι ὁ ὤν. Καὶ πάλιν· τάδε ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ, ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. Ὅτι δὲ τοῦ υἱοῦ ταῦτα τὰ ῥήματα, καὶ αὐτοὶ μὲν μαρτυροῦσι τῆς βλασφημίας οἱ πρόμαχοι, ἀχώρητον μὲν τὸν πατέρα λέγοντες, μεσίτην δὲ τοῦ πατρὸς καὶ τῆς κτίσεως τὸν υἱὸν ἀποκαλοῦντες, καὶ φάσκοντες αὐτὸν τοῖς πατριάρχαις καὶ τοῖς προφήταις ὀφθῆναι τὲ καὶ διαλεχθῆναι· σαφῶς δὲ ἡμᾶς αὐτὸς ὁ Θεὸς λόγος διδάσκει διὰ Ἱερεμίου τοῦ προφήτου λέγων· ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐν τῷ καιρῷ ἐκείνῳ διαθήσομαι τῷ οἴκῳ Ἰσραὴλ, καὶ τῷ οἴκῳ Ἰούδα διαθήκην καινὴν, οὐ κατὰ τὴν διαθήκην ἣν διεθέμην τοῖς πατρᾶσιν αὐτῶν ἐν ἡμέραις ἐπιλαβομένου μου τῆς χειρὸς αὐτῶν ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς Αἰγύπτου. Ζητήσωμεν τοίνυν τίς τὴν καινὴν ἔδωκε διαθήκην· ἢ δῆλον ἅπασιν ὡς ὁ δεσπότης Χριστὸς ταύτης ἐστὶ χορηγός· αὐτὸς γὰρ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις βοᾷ· ἐῤῥέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις, ἐγὼ δὲ λέγω ὑμῖν, πᾶς ὁ ὀργιζόμενος τῷ ἀδελφῷ αὐτοῦ εἰκῆ, ἔνοχος ἔσται τῇ κρίσει· ἐῤῥέθη τοῖς ἀρχαίοις οὐκ ἐπιορκήσεις, ἐγὼ δὲ λέγω ὑμῖν, μὴ ὀμόσαι ὅλως· καὶ τὰ ἄλλα δὲ ὁμοίως τίθησιν, ὅτι ἐῤῥέθη μὲν τόδε, ἐγὼ δὲ τοῦτο τοιῶσδε νομοθετῶ, οὐκ ἀναρέπων τὸν κεί-

μενον νόμον, ἀλλὰ τὴν νομοθεσίαν ἀκριβεστέραν ποιῶν, καὶ τῆς φυλακῆς τὸν τρόπον διδάσκων· τὴν νέαν τοίνυν διαθήκην ὁ δεσπότης ἡμῖν δέδωκε Χριστός· ὁ δὲ ταύτην παρεσχηκὼς, καὶ τὴν παλαιὰν μετὰ τὴν ἀπαλλαγὴν τῆς Αἰγύπτου δέδωκε τῷ Ἰσραήλ· ὁ δὲ ἐκείνην δεδωκὼς, καὶ τῆς αἰγυπτιακῆς δουλείας ἀπαλλάξας, αὐτὸς ἀπέστειλε δηλονότι πρὸς Φαραὼ τὸν Μωϋσέα· αὐτὸς εἶπε· τάδε ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς· τοῦτο δὲ καὶ ἑτέρωθι ὁ αὐτὸς προφήτης σαφὲς ποιεῖ· οὗτος γὰρ, φησὶν, ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· ἐξεῦρε πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ· μετὰ ταῦτα ἐπὶ γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη.

Κάτωθεν τοίνυν ἀρξάμενοι τὴν προφητικὴν ἐρευνήσωμεν ἔννοιαν· τίς ὁ ἐπὶ τῆς γῆς ὀφθεὶς, καὶ τοῖς ἀνθρώποις συναναστραφείς; εὔδηλον, ὡς οἶμαι, πᾶσι τοῖς γε νοῦν ἔχουσιν ὡς ὁ θεὸς λόγος τὴν ἡμετέραν φύσιν ἀναλαβὼν, ὁ μὴ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν κενώσας, καὶ μορφὴν δούλου λαβών· οὗτος τοίνυν τὴν ὁδὸν τῆς ἐπιστήμης ἔδωκεν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ, τὸν παλαιὸν διαγορεύσας ἐν τῇ ἐρήμῳ διὰ Μωϋσέως νόμον· ὁ δὲ τὸν νόμον ἐκεῖνον δεδωκὼς, πρὸ τοῦ δοῦναι τὸν νόμον τῷ Μωϋσῇ διαλεγόμενος ἔφη· τάδε ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς. Διὸ ὁ προφήτης ἐβόα· οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν· μαρτυρῶν αὐτῷ, οὐ τὸ ἔλαττον, ἀλλὰ τὸ ἀσύγκριτον. Ὁρᾶτε πῶς ἔοικε τοῖς εὐαγγελικοῖς διδάγμασιν τὰ προφητικὰ κηρύγματα; Μωϋσῆς κηρύττει τὸ ὤν· μᾶλλον δὲ αὐτὸς ὁ θεὸς λόγος περὶ ἑαυτοῦ λέγει τὸ ὤν· Παῦλος δὲ πολλάκις λέγει τὸ ὤν, προστίθησι δὲ καὶ τὸ ὑπάρχων, ταυτὸν δυνάμενον τῷ ὤν· λέγει καὶ τὸ ἐστὶν, ἰσοδυναμοῦν ἐκείνοις κατὰ τὴν ἔννοιαν· ὡσαύτως δὲ καὶ ὁ θεολόγος Ἰωάννης πολλαχοῦ τὸ ὢν τῇ τῶν εὐαγγελίων πραγματείᾳ ἐνσπείρει, καὶ αὐτὸ δὲ τὸ προοίμιον ταύταις ταῖς φωναῖς ἀ-

γλαΐζει, οὐχ' ἅπαξ, οὐδὲ δὶς, οὐδὲ τρὶς, ἀλλὰ πολλάκις κηρύττων τὸ ἦν.

ΚΕΦΑΛΑΙΟΝ Η.

Ὅτι τὰ μὲν ἁρμόττει τῷ θεῷ λόγῳ, τὰ δὲ τῇ ἀναληφθείσῃ φύσει.

Τῶν κηρύκων δὲ τῆς ἀληθείας τοιαῦτα διδασκόντων, τίς οὕτως ἄγαν θρασὺς καὶ αὐθάδης, ὡς ἀντὶ μὲν τοῦ ἦν, τὸ οὐκ ἦν εἰπεῖν; ἀντὶ δὲ τοῦ ὢν καὶ ὑπάρχων, κτίσμα προσαγορεῦσαι τὸν ἐκ πατρὸς μὲν ἀχρόνως καὶ ἀπαθῶς γεννηθέντα, ἐν δὲ τοῖς κόλποις τοῦ πατρὸς ἱδρυμένον; ὁ γὰρ ὢν οὐ κτίζεται, ὁ ὑπάρχων οὐ δημιουργεῖται· τὸ γὰρ ἐγένετο, καὶ τὸ ἔλαβε, καὶ ὅσα τοιαῦτα, οὐ θεολογοῦντες, ἀλλὰ τὴν οἰκονομίαν κηρύττοντες ἔλεγον, οἱ τὰ τῆς θεογνωσίας ἐγχειρισθέντες μυστήρια· καὶ πρῶτος μὲν ὁ μακάριος Ἰωάννης, καὶ ὁ λόγος, ἔφη, σὰρξ ἐγένετο· εἰπὼν τὸ, ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ πολλάκις τὸ ἦν ἐπὶ τῆς θεότητος δεδωκὼς, εἰς τὴν τῆς ἐνανθρωπήσεως οἰκονομίαν ἐλθὼν, ἀναγκαίως τὸ ἐγένετο τέθεικεν· οὐ γὰρ ἦν ἀεὶ ἡ ἐξ ἡμῶν ληφθεῖσα ὑπὸ τοῦ θεοῦ λόγου ἀπαρχὴ, ἀλλὰ πρὸς τῷ τέλει τῶν αἰώνων ἐγένετο τὲ καὶ ἀνελήφθη ὑπὸ τοῦ θεοῦ λόγου· τοῦτο ποιεῖ καὶ ὁ μακάριος Παῦλος· εἰπὼν γὰρ ἐν μορφῇ θεοῦ ὑπάρχων, καὶ προσθεὶς τὸ οὐχ' ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἐπήγαγε τὸ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· τῇ μορφῇ τοῦ δούλου τὸ λαβὼν προσαρμόσας, τῇ δὲ μορφῇ τοῦ θεοῦ τὸ ὑπάρχων συζεύξας· οὐκοῦν ἡ τοῦ θεοῦ μορφὴ προϋπάρχουσα, μᾶλλον δὲ ἀεὶ ὑπάρχουσα, ἔλαβε τὴν τοῦ δούλου μορφήν· οὐ τοίνυν κτίσμα, οὐδὲ ποίημα, οὐδὲ ἐξ οὐκ ὄντων ὁ τοῦ θεοῦ λόγος, ἀλλ' ἐκ τοῦ πατρὸς γεννηθεὶς ἀεὶ τῷ πατρὶ σύνεστι, καὶ τὴν μετὰ πατρὸς παρὰ τῶν ἀγνωμόνων προσκύνησιν δέχεται.

ΚΕΦΑΛΑΙΟΝ Θ.

Περὶ τῆς ἐκ θεοῦ γεννήσεως.

Μηδεὶς δὲ γέννησιν ἀκούων, τοῖς λογισμοῖς δεχέσθω τὰ πάθη τῆς ἡμετέρας γεννήσεως, τομὴν, καὶ ῥεῦσιν, καὶ ὀδύνην, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα· σωμάτων γὰρ ταῦτα παθήματα· θεὸς δὲ ἀσώματος, καὶ ἀπαθὴς, ἄτρεπτός τε, καὶ ἀναλλοίωτος, ἀεὶ ὡσαύτως ἔχων· εἰ δέ τις οἴεται γέννησιν μὴ εἶναι πάθους ἀπηλλαγμένην, καὶ ἐν τοῖς περὶ κλίσεως λόγοις τούτους δεχέσθω τοὺς λογισμούς· ὥσπερ γὰρ ἐκεῖ τομὴ καὶ ῥεύσις, οὕτως ἐνταῦθα φροντὶς, καὶ πόνος, καὶ ἱδρὼς, καὶ ὄργανα, καὶ ὕλη προϋποκειμένη, καὶ ἀποτυχίαι, καὶ τὰ ἄλλα ὅσα συμπαρομαρτεῖ τοῖς κτίσμασιν· εἰ δὲ μόνη βούλησις τῷ θεῷ εἰς τὴν τοῦ παντὸς ἤρκησε δημιουργίαν, καὶ βουληθεὶς παραχρῆμα τὰ μὴ ὄντα ἔδειξεν ὄντα, δεξάσθω ὁ ἀντιλέγων καὶ τὴν γέννησιν τοῦ θεοῦ πάθους ἀπηλλάχθαι παντός· ὥσπερ δὲ οὐ τοῖς ἀνθρώποις ὁμοίως ἐδημιούργησεν, οὕτως οὔτε ὁμοίως ἐγέννησεν.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Τίς ἡ ἔννοια τῶν τοῦ κυρίου ὀνομάτων.

Διὸ καὶ ὁ υἱὸς ὀνομάζεται ὡς ἀπαθῶς γεννηθεὶς, κατὰ τὸν ἐκ τοῦ νοῦ γεγενημένον λόγον ἀπαθῶς. υἱὸς δὲ καλεῖται ὡς ἐκ τοῦ πατρὸς γεννητῶς προελθών· θεὸς δὲ προσαγορεύεται ὡς τῆς πατρικῆς φύσεως μετέχων, καὶ ἀπαράλλακτος εἰκὼν ὑπάρχων τοῦ θεοῦ γεννήσαντος· μονογενὴς δὲ, ὡς μόνος ἐκ μόνου, καὶ μονοτρόπως γεννηθείς· ἀπαύγασμα δόξης, ὡς ἐν αὐτῷ τὸν πατέρα δεικνὺς, καὶ ἀεὶ συνὼν τῷ γεννήσαντι, ὥσπερ τῷ φωτὶ τὸ ἀπαύγασμα· χαρακτὴρ ὑποστάσεως, ἵνα μὴ ψιλὴν ἐνέργειαν ἀλλὰ

ζῶσαν ὑπόστασιν τὸν θεὸν λόγον εἶναι πιστεύσῃς, ὅλον ἐν ἑαυτῇ τὸν γεννήσαντα δεικνῦσαν· τὸ δὲ πρωτότοκος οὐκ ἐστὶ τῆς θείας φύσεως, ἀλλὰ τῆς οἰκονομίας ὄνομα· πῶς γὰρ οἷόν τε τὸν θεὸν λόγον, καὶ μονογενῆ καὶ πρωτότοκον εἶναι; ἐναντία γὰρ τὰ ὀνόματα· καὶ ὁ μὲν μονογενὴς τὸν μόνον γεννηθέντα σημαίνει, ὁ δὲ πρωτότοκος τὸν πρὸ ἑτέρων τεχθέντα, καὶ ἑτέρων τῷ τόκῳ πρωτεύοντα· ὁ θεὸς δὲ λόγος ἀδελφὸν οὐκ ἔχει, μονογενὴς γάρ· πῶς οὖν πρωτότοκος ὁ μόνος ἐκ τοῦ πατρὸς γεννηθείς; οὐκοῦν εὔδηλον, ὡς τῆς οἰκονομίας τὸ πρωτότοκος ὄνομα.

Εἰ δέ τις ἀμφιβάλλει, παρὰ Παύλου μανθανέτω βοῶντος· ὅτι οὓς προέγνω καὶ προώρισεν συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· τίνος γὰρ κατὰ φύσιν ἀδελφοὶ οἱ πιστεύοντες; οὐ τοῦ υἱοῦ τοῦ θεοῦ λόγου, ἀλλὰ τῆς ὁμοφυοῦς ἀνθρωπότητος· ταύτης γάρ εἰσι καὶ σύμμορφοι. Καὶ ἑτέρωθεν ἔλεγεν· ὃς μετασχηματίσει τὸ σῶμα τῆς ταπεινώσεως ἡμῶν εἰς τὸ γενέσθαι αὐτὸ σύμμορφον τῷ σώματι τῆς δόξης αὐτοῦ· οὐκοῦν αὐτός ἐστι καὶ πρωτότοκος ὁ τοὺς πολλοὺς ἔχων ἀδελφούς· περὶ ὧν αὐτὸς ἐν ψαλμοῖς φησὶν· ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου· οὐκ ἄλλον δὲ τὸν μονογενῆ, καὶ ἄλλον τὸν πρωτότοκον εἶναι φαμὲν, ἀλλὰ τὸν αὐτόν· οὐ κατὰ τὸ αὐτὸ δέ· μονογενὴς μὲν γὰρ ὠνόμασται κατὰ τὴν ἄνωθεν γέννησιν, πρωτότοκος δὲ κέκληται ὡς πρῶτος τῆς ἐπὶ τὴν ζωὴν φερούσης γεννήσεως τὰς ὠδῖνας λύσας. διὰ τοῦτο καὶ πρωτότοκος ἐκ τῶν νεκρῶν ὀνομάζεται, ὡς πρῶτος ἀναστὰς, καὶ τοῦ θανάτου τὰς πύλας ἀνοίξας· καὶ πρωτότοκος πάσης τῆς κτίσεως, ὡς πρῶτος ἐν τῇ καινῇ κτίσει τεχθεὶς, ἣν ἀνεκαίνισε γεννηθείς· περὶ ἧς ὁ μακάριος λέγει Παῦλος· εἴ τις ἐν Χριστῷ καινὴ κτίσις, τὰ ἀρχαῖα παρῆλθον· ἰδοὺ γέγονε τὰ πάντα καινά. Εἰ δὲ φιλονεικεῖεν, οἱ τὴν ἔριν τῆς πειθοῦς προτιμῶντες, περὶ τοῦ θεοῦ λόγου, τὸ πρωτότοκος εἰρῆσθαι πάσης κτίσεως, τὴν μὲν ἀμαθίαν αὐτῶν γελασόμεθα· συγχωρήσομεν δὲ ὅμως, ἵνα καὶ οὕτως ἐκ πολλοῦ τοῦ περιόντος παρ' ἡμῖν οὖσαν τὴν ἀλήθειαν δείξωμεν· πρωτό-

τοκος γὰρ, ἀλλ' οὐ πρωτόκτιστος πάσης κτίσεως λέγεται· ὡς εἶναι δῆλον ὅτι αὐτὸς μὲν πρὸ πάσης ἐγεννήθη τῆς κτίσεως, καὶ οὐδὲν τοῦ υἱοῦ πρεσβύτερον, ἀλλὰ πατρὶ μὲν ἀεὶ συνῆν, τῆς δὲ κτίσεως ἁπάσης προῆν· πᾶσα δὲ τῶν δημιουργημάτων ἡ φύσις ὕστερον ποτὲ, εἰ ὑπ' αὐτοῦ πρὸς τὸ εἶναι παρήχθη· ὥστε οὐδὲν ἐντεῦθεν τοῖς βλασφημοῦσι περιέσται.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Ὅτι οὐδεὶς οἶδε τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, καὶ οὐδεὶς οἶδε τὸν πατέρα, εἰ μὴ ὁ υἱός.

Ἵνα δὲ δείξωμεν πατρὸς καὶ υἱοῦ τὴν ἰσότητα, ἐπ' αὐτὴν ἔλθωμεν τὴν τοῦ κυρίου διδασκαλίαν· οὐδεὶς, φησὶν, οἶδε τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, οὐδὲ τὸν πατέρα τίς ἐπιγινώσκει, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι· τί τούτων τῶν ῥημάτων σαφέστερον; ἴση, φησὶν, ἡμῖν ἡ γνῶσις ἐστί· γινώσκω γὰρ τὸν πατέρα, γινωσκόμενος ὑπ' αὐτοῦ· καὶ γινώσκει με ὁ πατὴρ, καὶ γινωσκόμενος ὑπ' ἐμοῦ· πᾶσα δὲ ἡ κτίσις τῆς ἡμετέρας ἐκβέβληται γνώσεως· πῶς γὰρ οἷόν τε τῆς φύσεως ἡμῶν οὐ κοινωνοῦσαν, κοινωνῆσαι τῆς γνώσεως; μεταλαγχάνουσι δέ τινες ὅμως βραχείας τινὸς θεωρίας, ἀποκαλύπτω γὰρ ὡς οἷόν τε οἷς ἂν ἐθέλω τὴν περὶ τοῦ πατρὸς γνῶσιν, ὡς ἐν ἐσόπτρῳ καὶ αἰνίγματι ταῦτα ἐκ τῶν δεσποτικῶν ἐμάθομεν διδαγμάτων· ποίαν ἐνταῦθα χώραν ἔχει τὸ μεῖζον καὶ ἔλαττον; ποῖον κτίσμα τὸν κτίστην γινώσκει, ὡς ὑπὸ τοῦ κτίστου γινώσκεται; ποῖον δὲ ποίημα τὴν πρὸς τὸν ποιητὴν ἰσότητα δέχεται; ἢ οὐκ ἴσμεν ὅπως περὶ τῆς κτίσεως ἡ θεία γραφὴ διαλέγεται; ἀναμνησθῶμεν τοίνυν τῶν τοῦ προφήτου ῥημάτων· κατ' ἀρχὰς σὺ κύριε τὴν γῆν ἐθεμελίωσας, καὶ ἔργα τῶν χειρῶν σου εἰσὶν οὐρανοί· αὐτοὶ ἀπολοῦνται, σὺ δὲ διαμένεις· καὶ πάντες ὡς ἱμάτιον παλαιωθήσονται, καὶ ὡσεὶ περιβόλαιον ἑλίξεις αὐτοὺς, καὶ ἀλλαγήσονται· σὺ δὲ αὐτὸς εἶ, καὶ τὰ ἔτη

σου οὐκ ἐκλείψουσι. Καὶ πάλιν· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα· αὕτη κτίσεως καὶ κτίστου διαφορά· ἔνθα τοίνυν ἰσότης, οὐκέτι κτίσμα καὶ κτίστης, ἀλλὰ πατὴρ καὶ υἱός· διὸ καὶ ταῦτα τέθεικε τὰ ὀνόματα, ἵνα ἐκ τῶν ὀνομάτων μάθωμεν τὴν ταυτότητα· οὐδεὶς γάρ φησι, γινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, οὐδὲ τὸν πατέρα τίς ἐπιγινώσκει εἰ μὴ ὁ υἱός· τῷ εἰπεῖν οὐδεὶς, τὴν κτίσιν ἐδήλωσεν· ἐκβαλομένη δὲ ἡ κτίσις, δείκνυσι τὸν μένοντα τῶν κτισμάτων ὑπέρτερον, τῷ δὲ γεννήσαντι φυσικῶς συνημμένον· οὐδεὶς γινώσκει τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, οὐδὲ τὸν πατέρα τίς ἐπιγινώσκει, εἰ μὴ ὁ υἱὸς, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι.

εἰπάτωσαν οἱ τῆς ἀληθείας ἐχθροὶ, πῶς χρὴ τὴν θείαν ἀναγινώσκειν γραφήν; τῷ γράμματι στέργειν, ἢ τὴν ἔννοιαν ἐρευνᾶν; κἂν μὲν οὖν τὸ δεύτερον εἴπωσι, μαθέτωσαν ἀφ' ὧν λέγουσι, κἂν τοῖς οἰκείοις προβλήμασι τοῦτο ποιεῖν, καὶ τὴν ἀληθῆ τῶν πραγμάτων ζητεῖν ἑρμηνείαν· εἰ δὲ φαῖεν ἀρκεῖν τὸ γράμμα πρὸς ἀκριβῆ διδασκαλίαν, ἐκ τῶν προκειμένων τὴν ἔννοιαν αὐτῶν διελέγξομαι· εὑρίσκεται γὰρ ἀνέφικτος μὲν ὁ υἱὸς, ὁ δὲ πατὴρ ἐφικτὸς· καὶ ὁ μὲν ἀπερινόητος, ὁ δὲ πατὴρ θεατὸς· περὶ μὲν γὰρ ἑαυτοῦ ὁ δεσπότης Χριστὸς εἰπὼν, ὅτι οὐδεὶς γινώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατὴρ, οὐκ ἐπήγαγε, καὶ ᾧ ἂν βούληται ὁ πατὴρ ἀποκαλύψαι· εἰρηκὼς δὲ οὐδὲ τὸν πατέρα τίς ἐπιγινώσκει, εἰ μὴ ὁ υἱὸς, εὐθὺς προσέθηκε, καὶ ᾧ ἂν βούληται ὁ υἱὸς ἀποκαλύψαι· καὶ οὐ μόνον αὐτὸν θεωρητὸν πεποίηκεν, ἀλλὰ καὶ τῆς οἰκείας ἐξουσίας τὴν θεωρίαν ἐξήρτησεν· ἀλλὰ κἂν μυριάκις εἰς τὸν υἱὸν ἀσεβεῖν ἐθέλωσιν, οἷς τοῦτο φίλον, ἡμεῖς οὐκ ἀνεξόμεθα βλάσφημον ἔννοιαν καταδέξασθαι περὶ θεοῦ καὶ πατρός· πιστεύομεν γὰρ ἀθέατον καὶ ἀπερινόητον εἶναι τὸν τῶν ὅλων θεόν· πῶς γὰρ ὁ ἀκατάληπτος, υἱὸς ἂν εἴη τοῦ καταληφθῆναι δυναμένου; ὁμοίως τοίνυν πατέρα καὶ υἱὸν ἀχώρητον εἶναι φαμὲν ἀνέφικτόν τε καὶ ἀκατάληπτον· ἀποκαλύπτεσθαι δὲ διὰ πατρὸς καὶ υἱοῦ τὴν γνῶσιν πιστεύομεν τῷ τῆς διανοίας ὀπτικῷ καὶ τῇ τῆς πίστεως θεωρίᾳ· οὐδεὶς γι-

νώσκει τὸν υἱὸν, εἰ μὴ ὁ πατήρ· οὐδὲ τὸν πατέρα τίς γινώσκει, εἰ μὴ ὁ υἱός· καὶ ἀλλαχοῦ· καθώς, φησι, γινώσκει με ὁ πατὴρ, κἀγὼ γινώσκω τὸν πατέρα· οὐχ' ὃ μὲν πλέον, ὁ δὲ ἔλαττον, ἀλλὰ καθὼς γινώσκω, γινώσκομαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Ὅτι ἴση τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἡ δύναμις.

Ὧν τοίνυν ἡ γνῶσις ἴση, τούτων καὶ ἡ δύναμις ἴση· ὧν δὲ ἡ δύναμις ἴση, τούτων δηλονότι καὶ ἡ οὐσία μία· ὅτι δὲ ἴση πατρὸς καὶ υἱοῦ ἡ δύναμις, αὐτὸς ἡμᾶς πάλιν ὁ σωτὴρ ἐδίδαξεν οὑτωσὶ λέγων· οἱ ἐκ τῶν προβάτων τῶν ἐμῶν, τῆς φωνῆς μου ἀκούουσι, κἀγὼ γινώσκω αὐτὰ, καὶ ἀκολουθοῦσί μοι, κἀγὼ ζωὴν αἰώνιον δίδωμι αὐτοῖς, καὶ οὐ μὴ ἀπολοῦνται εἰς τὸν αἰῶνα, οὐδ' οὐ μή τις ἁρπάσῃ αὐτὰ ἐκ τῆς χειρός μου· ὁ πατὴρ, ὃς δέδωκέ μοι, μείζων πάντων ἐστὶ, καὶ οὐδεὶς δύναται ἁρπάσαι ἐκ τῆς χειρὸς τοῦ πατρός μου· ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμέν. Ὁρᾶτε πῶς οὐχ' ἁπλῶς τέθεικε τὸ ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμὲν, προορῶν τὴν αἱρετικὴν κακοήθειαν, ἵνα μὴ ἐπὶ βουλήματος καὶ θελήματος ταύτην λάβωσι τὴν φωνήν· ἀλλὰ πρότερον τὸ τῆς δυνάμεως ἴσον κατασκευάσας, οὕτω ταύτην ἐπήγαγε· τοῖς γὰρ προβάτοις, φησὶ, τοῖς ἀκολουθοῦσί μοι ζωὴν αἰώνιον δίδωμι ἐγὼ, ὡς μηδὲν ἐξ αὐτῶν ἀπολέσθαι εἰς τὸν αἰῶνα· τίς γάρ ἐστι τοσοῦτος ὡς ἁρπάσαι ἐκ τῆς χειρός μου δυνηθῆναι τὰ ὑπ' ἐμοῦ ποιμαινόμενα; ὥσπερ γὰρ τῆς δεξιᾶς τοῦ πατρὸς, ὃς μείζων πάντων ὑπάρχει, ἀμήχανον τινὰ περιγενέσθαι, οὕτως ἀδύνατον ἁρπαγῆναι τινὰ τῶν ὑπ' ἐμοῦ φρουρουμένων· ἐγὼ γὰρ καὶ ὁ πατὴρ ἕν ἐσμέν· ποῦ τοίνυν τὸ μεῖζον καὶ τὸ ἔλαττον; εἰ γὰρ ὁμοίως, οὔτε ἐκ τῆς χειρὸς τοῦ υἱοῦ, οὔτε ἐκ τῆς χειρὸς τοῦ πατρὸς, ἁρπάσαι τίς δύναται, τὸ μεῖζον χώραν οὐκ ἔχει· καὶ ἐπειδὴ πάντων μείζων ὁ πατὴρ, οὐδεὶς δύναται ἁρπάσαι ἐκ τῆς χειρὸς αὐτοῦ· μείζων ἄρα πάντων ὁ

υἱὸς, ἐπειδὴ ὁμοίως οὐδεὶς ἐκ τῆς χειρὸς αὐτοῦ ἁρπάσαι δύναται· διὸ ἐπήγαγεν, ἐγὼ καὶ ὁ πατὴρ ἕν ἐσμεν. ἂν γὰρ τῷ γράμματι πάλιν ἀκολουθήσωμεν, ὀψόμεθα τὸν υἱὸν προτεταγμένον· ἐγὼ γὰρ, εἶπε, καὶ ὁ πατὴρ, οὐχ᾽ ὁ πατὴρ καὶ ἐγώ· καὶ δείξας τὴν τῶν προσώπων δυάδα, ἐκήρυξε τὴν τῆς φύσεως ταυτότητα· τῷ γὰρ εἰπεῖν ἐγὼ καὶ ὁ πατὴρ, τὸν ἀριθμὸν τῶν ὑποστάσεων ἐσήμανε· τὸ δὲ ἐπαγαγεῖν ἐσμὲν ἓν, τὸ τῆς δυνάμεως ἐδήλωσεν ἀπαράλλακτον· ὧν τοίνυν ἴση ἡ γνῶσις, καὶ ἡ δύναμις, καὶ ἡ βούλησις, τούτων δηλονότι καὶ ἡ φύσις μία, κἂν ἀναισχυντῶσιν οἱ δυσφημοῦντες.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Ὅτι πολλαχόθεν ἐστὶ μαθεῖν πατρὸς καὶ υἱοῦ τὴν ἰσότητα.

Ὅτι δὲ τὰ αὐτὰ δύναται τῷ πατρὶ, καὶ μαθεῖν ἐστὶν ἑτέρωθεν· ποτὲ μὲν γὰρ, ὁ πατήρ μου, λέγει, ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· ποτὲ δὲ, ὥσπερ ὁ πατὴρ ἐγείρει τοὺς νεκροὺς καὶ ζωοποιεῖ, οὕτω καὶ ὁ υἱὸς οὓς θέλει ζωοποιεῖ· οὓς θέλει εἶπεν, οὐχ᾽ οὓς κελεύεται· οὓς βούλεται, οὐχ᾽ οὓς προστάσσεται· τὸ μὲν γὰρ δουλείας, τὸ δὲ δεσποτείας ἴδιον. Καὶ πάλιν ἑτέρωθεν· εἰ οὐ ποιῶ τὰ ἔργα τοῦ πατρός μου, μὴ πιστεύετέ μοι· εἰ δὲ ποιῶ, κἂν ἐμοὶ μὴ θέλητε πιστεύειν, τοῖς ἔργοις πιστεύετε, καὶ γινώσκετε ὅτι ὁ πατὴρ ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ. Ὁρᾶτε πάλιν κἀντεῦθεν πατρὸς καὶ υἱοῦ τὴν ἰσότητα· ὁ πατὴρ γὰρ, φησιν, ἐν ἐμοὶ, κἀγὼ ἐν αὐτῷ· ἐπὶ δὲ τοῦ μείζονος καὶ τοῦ μείονος τοῦτο εὑρεθῆναι ἀδύνατον· οἷον τί λέγω· πᾶσαν ὁμοῦ τὴν κτίσιν ὁρωμένην τὲ καὶ ἀόρατον ἐν ἑαυτῷ περιγράφει ὁ τῶν ὅλων θεὸς, μᾶλλον δὲ ἐν τῇ χειρὶ κατέχει· ἐν γὰρ τῇ χειρὶ αὐτοῦ, φησὶ, τὰ πέρατα τῆς γῆς. Καὶ πάλιν· ὁ κατέχων τὸν γῦρον τῆς γῆς, καὶ τοὺς ἐνοικοῦντας ἐν αὐτῇ ὡσεὶ ἀκρίδας. Καὶ ἀλλαχοῦ· τίς ἐμέτρησεν τῇ χειρὶ αὐ-

τοῦ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί· πᾶσαν μὲν οὖν, ὡς ἔφην, τὴν κτίσιν ἐν τῇ χειρὶ κατέχει τῶν ὅλων ὁ ποιητής· αὐτὸν δὲ ὑπὸ τῆς κτίσεως περιληφθῆναι ἀδύνατον· οὐκοῦν ἀμήχανον ὑπ' ἀλλήλων τὰ ἄνισα χωρηθῆναι· εἰ δὲ τοῦτο ἀληθὲς, ὥσπερ καὶ ἀληθὲς, χωρεῖ δὲ ὁ υἱὸς τὸν πατέρα, ὥσπερ ὁ πατὴρ τὸν υἱὸν, εὔδηλον ὁ τῆς ἀνισότητος λόγος ἐκβέβληται, καὶ ἰσότης ἐν πατρὶ υἱῷ γνωρίζεται.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

Ἀπόδειξις, ἰσότιμον εἶναι τῷ πατρὶ τον υἱόν.

Ταύτην δὲ αὖθις ἡμᾶς αὐτὸς ὁ δεσπότης Χριστὸς ἀλλαχοῦ διδάσκει λέγων· ἐγώ εἰμι ἡ θύρα· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ· καὶ ἑτέρωθεν· οὐδεὶς ἔρχεται πρὸς τὸν υἱὸν ἐμὲ, ἐὰν μὴ ὁ πατήρ μου ὁ οὐράνιος ἀγάγῃ αὐτόν. Διδασκόμεθα δὲ ἐντεῦθεν, ὡς ὁμοίως καὶ ὁ υἱὸς τῷ πατρὶ, καὶ ὁ πατὴρ τῷ υἱῷ προσάγει τοὺς σωζομένους· ποῦ τοίνυν ἡ δουλοπρεπὴς τῶν αἱρετικῶν λειτουργία; ποῦ ἡ τῇ κτίσει πρέπουσα διακονία; ποῦ τῆς πατρικῆς δεσποτείας καὶ δουλείας, ἀνισότητα δείκνυσιν; ἀκούομεν γὰρ ὡς νῦν ὁ υἱὸς ποδηγεῖ πρὸς τὸν πατέρα τοὺς σωτηρίας ἐφιεμένους· καὶ νῦν ὁ πατὴρ τοῦτο ποιεῖ, καὶ τῷ υἱῷ προσάγει τῆς πίστεως τοὺς τροφίμους.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

Ὅτι μία πατρὸς καὶ υἱοῦ ἡ φύσις.

Καὶ μανθάνομεν ἐντεῦθεν πατρὸς καὶ υἱοῦ τὸ ἰσότιμον· τοῦτο δὲ καὶ ἑτέρωθεν ἐστὶ μαθεῖν, αὐτοῦ τοῦ κυρίου διαλεγομένου πρὸς τοὺς ἰουδαίους ἀκούοντας· πολλὰ γὰρ διεξελθὼν, ὕστερον ἐπήγαγε· κἂν ἐγὼ περὶ ἐμαυτοῦ μαρτυρῶ, ἡ μαρτυρία μου ἀληθής ἐσ-

τιν, ὅτι μόνος οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατήρ· καὶ ἐν τῷ νόμῳ δὲ τῷ ὑμετέρῳ γεγραμμένον ἐστὶν, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν· ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατήρ. Ἔλεγον οὖν αὐτῷ οἱ Ἰουδαῖοι· ποῦ ἐστιν ὁ πατήρ σου; ἀπεκρίθη αὐτοῖς ὁ Ἰησοῦς· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ οἴδατε, καὶ τὸν πατέρα ἤδειτε ἄν· βαβαὶ πόση τῶν αἱρετικῶν ἡ παραπληξία; πόσην νοσοῦσιν ἐμβροντησίαν οἱ τῆς Ἀρείου, καὶ Εὐνομίου βλασφημίας κληρονόμοι; πρὸς τῇ παραπληξίᾳ, πολλὴν ἐστὶν ἰδεῖν ἐν αὐτοῖς ἐπανθοῦσαν ἀναισχυντίαν· τῆς γὰρ ἀποστολῆς ἄνω καὶ κάτω μνημονεύουσι, καὶ τὸν ἀποστείλαντα τοῦ ἀποσταλέντος φασὶν εἶναι τιμιώτερον· τοσαύτην ἔχουσιν ἀμαθίαν τῶν γραφῶν· καὶ οὐ λογίζονται ὡς ὑπὸ τοῦ Ἰσαὰκ ὁ Ἰακὼβ εἰς τὴν Μεσοποταμίαν ἀπεσταλμένος, οὐ μὴν διὰ τοῦτο ἐλάττων ἐστὶ τοῦ ἀποστείλαντος κατὰ τὸν λόγον τῆς φύσεως· ὡσαύτως δὲ καὶ Ἰωσὴφ ἀπεστάλη μὲν ὑπὸ τοῦ Ἰακὼβ ἐπισκέψασθαι τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ οὐδεὶς ἂν φαίη τῆς τοῦ πατρὸς φύσεως μὴ μετέχειν, ἐπειδὴ τῷ πατρὶ πειθόμενος τὴν ἀποστολὴν κατεδέξατο.

Ἀλλὰ φασὶν ἴσως· εἰ μὴ κατὰ τὸν λόγον τῆς φύσεως μείζους ἐνταῦθα τῶν ἀποσταλέντων οἱ ἀποστείλαντες, κατὰ τὸν πατρικὸν γοῦν ἀξίωμα ἔχουσι τῆς τιμῆς τὰ πρεσβεῖα· ἀλλ' εὑρίσκομεν, ὦ ἀνόητοι, φαίην ἂν πρὸς αὐτοὺς, καὶ τοὺς μείζους ὑπὸ τῶν ἐλαττόνων ἀποσταλέντας, καὶ οὐχὶ διὰ τοῦτο τῆς οἰκείας τιμῆς τοὺς ἀποσταλέντας γυμνώσομεν· ἀπεστάλη γὰρ ὑπὸ τοῦ Δαβὶδ Ἰωνάθας, ὁ τοῦ βασιλέως υἱὸς ὑπὸ τοῦ φυγάδος, ὁ τῷ πατρὶ συμβασιλεύων ὑπὸ τοῦ μηδὲ ἐν οἰκέτου τάξει φανῆναι τολμῶντος· ἐπειδὴ τοίνυν, ὁ μὲν ἀπέστειλεν, ὁ δὲ ἀπεστάλη, οὐκέτι μὲν ὁ πεμφθεὶς βασιλεὺς κατὰ τὸν ὑμέτερον λόγον, οὐκέτι δὲ ὁ ἀποστείλας φυγάς· ἀλλὰ μεταβέβηκε μὲν ἐπὶ τὸν ἀποστείλαντα Δαβὶδ τὸ τοῦ πεμφθέντος ἀξίωμα· μεταβέβηκε δὲ ἐπὶ τὸν ἀποστείλαντα Ἰωνάθαν ἡ τοῦ πέμψαντος δυσκηρία· ἀλλ' οὐχ' οὕτω ταῦτ' ἔχει. Καὶ τί δεῖ λέγειν τὰ ἀνθρώπινα; εὑρίσκομεν γὰρ θεὸν ἀποστα-

λέντα, καὶ ἄνθρωπον ἀποστείλαντα· ὁ γὰρ τῷ Ἰακὼβ συμπαλαίσας φησὶν, ἀπόστειλόν με, ἀνέβη γὰρ ὁ ὄρθρος· πρὸς ὃν Ἰακὼβ ἔφη, οὐ μή σε ἀποστείλω ἐὰν μή με εὐλογήσῃς· τί πρὸς ταῦτα λέγειν ἔχουσιν οἱ σοφοὶ τῆς πίστεως τεχνολόγοι; ἄλλως δὲ καὶ ἐκ τῶν δεσποτικῶν εὑρήσομεν ῥημάτων καὶ αὐτὸν τὸν πέμψαντα πατέρα τῷ πεμφθέντι υἱῷ συνόντα· μόνος γάρ φησιν οὐκ εἰμὶ, ἀλλ' ἐγὼ καὶ ὁ πέμψας με πατὴρ· καὶ ἀλλαχοῦ, οὐκ ἀφῆκέ με μόνον ὁ πατήρ μου· καὶ ἑτέρωθεν, ὁ πατήρ μου ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα. Εἰ τοίνυν ἐν αὐτῷ, καὶ σὺν αὐτῷ ἦν ὁ πέμψας, ποῦ τοῦ πεμφθέντος ἡ εὐτέλεια; ὁ δὲ τὰ πάντα πληρῶν ποῦ καὶ πόθεν ἀπεστάλη; ἡ γὰρ ἀποστολὴ τόπου ἀλλαγὴν αἰνίττεται· εἰ δὲ τὰ πάντα πατὴρ καὶ υἱὸς περιέχει, οὔτε ὁ πατὴρ ὡς πόῤῥω τυγχάνων ἐκείνων, πρὸς οὓς ἀπέστειλεν, ἔπεμψε τὸν υἱὸν, οὔτε ὁ υἱὸς ἐξ ἑτέρου εἰς ἕτερον μεταβέβηκε τόπον· οὐκοῦν λείπεται νοεῖν τῆς ἀναληφθείσης ἀνθρωπότητος τὴν ἀποστολὴν εἶναι.

Ἀλλ' ἐπὶ τὴν ἑρμηνείαν τῶν δεσποτικῶν ῥημάτων ἀναδραμεῖν καιρός. Ἐν τῷ νόμῳ, φησὶ, τῷ ὑμετέρῳ γέγραπται, ὅτι δύο ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν· εἶτα ἐπάγει, ὅτι ἐγώ εἰμι ὁ μαρτυρῶν περὶ ἐμαυτοῦ, καὶ μαρτυρεῖ περὶ ἐμοῦ ὁ πέμψας με πατὴρ· ἀποβλέψαντες τοίνυν τὴν εἰκόνα, νοήσωμεν τὸ ἀρχέτυπον· δύο, φησὶν, ἀνθρώπων ἡ μαρτυρία ἀληθής ἐστιν. τῶν δὲ δύο ἀνθρώπων ἡ φύσις μία δηλονότι παρὰ πᾶσιν ὡμολόγηται· οὐκοῦν πατρὸς καὶ υἱοῦ ἡ οὐσία μία, μία ἐκ τῆς εἰκόνος νοηθήσεταί τε καὶ ὁμολογηθήσεται· ὥσπερ γὰρ ἐκεῖ δύο ἄνθρωποι, οὕτω καὶ ἐνταῦθα θεὸς καὶ θεὸς, πατὴρ καὶ υἱὸς, καὶ αὐτοῖς τοῖς ὀνόμασι δηλοῦντες τῆς φύσεως τὴν ταυτότητα· οὔτε γὰρ ὁ ἀληθῶς θεὸς ἑτέρας ἂν εἴη φύσεως παρὰ τὸν ἀληθινῶς θεόν· οὔτε ὁ υἱὸς ἄλλος παρ' ἐκεῖνον θεοῦ ὑπάρχων υἱός· τοῦτον ἀκούσαντες οἱ ἰουδαῖοι ἠρώτησαν αὐτὸν ποῦ ἐστὶν ὁ πατήρ σου; ἀπεκρίθη τοίνυν ὁ Ἰησοῦς· οὔτε ἐμὲ οἴδατε, οὔτε τὸν πατέρα μου· εἰ ἐμὲ ᾔδειτε, καὶ τὸν πατέρα μου ᾔδειτε ἄν.

Ὁρᾶτε πάλιν πῶς ἐντεῦθεν τὸ ὁμοούσιον δύκνυται· εἰ ἐμὲ γάρ, φησιν, ἤδειτε, καὶ τὸν πατέρα μου ἤδειτε ἄν· ἐκ δὲ τοῦ ἑτεροουσίου τὸ ἑτεροούσιον οὐ γνωρίζεται· τὰ γὰρ ἀλλόφυλα καὶ ξένα, ἀλλήλων οὐκ εἰσὶ δηλωτικά· τὰ δὲ φύσεως κοινωνοῦντα, δι' ἀλλήλων γινώσκεται· δι' ἑνὸς μὲν ἀνθρώπου, πᾶσαν τῶν ἀνθρώπων τὴν φύσιν ἰδεῖν ἐστι· καὶ δι' ἑνὸς προβάτου τῶν προβάτων ἅπαν τὸ γένος· οὐ μὴν διὰ προβάτων τοὺς λέοντας, οὐδὲ διὰ λεόντων τὰ πρόβατα, οὐδ' ἀγγέλους διὰ ἀνθρώπων, οὐδὲ διὰ ἀγγέλων ἀνθρώπους· ζῶον γὰρ ἕκαστον τῆς οἰκείας δηλωτικόν ἐστι φύσεως. Εἰ τοίνυν ὁ μονογενὴς λόγος τοῦ θεοῦ κτίσμα, καὶ ἐξ οὐκ ὄντων, καὶ ἐξ ἑτέρας τινὸς γεγένηται φύσεως, πῶς ἐν αὐτῷ τὸν πατέρα δείκνυσι πιστευόμενος; εἰ δὲ ὁ πατὴρ διὰ τοῦ υἱοῦ γινώσκεται, καὶ ὁ τὸν υἱὸν γινώσκων, καὶ τὸν πατέρα γινώσκει, πεδηθείη μὲν πᾶσα βλάσφημος γλῶσσα, καὶ τῷ λάρυγγι κατὰ τὸν προφήτην κολληθείη· ἡμεῖς δὲ οἱ τῆς τριάδος προσκυνηταὶ ἀκριβῆ τοῦ ὁμοουσίου ἐντεῦθεν τὴν γνῶσιν λαμβάνομεν· λογιζόμενοι ὡς οὐκ ἂν ἑτέρως ἐν υἱῷ πατὴρ ἐγνωρίσθη, εἰ μὴ τῆς αὐτῆς οὐσίας ἐτύγχανε· καὶ προσκυνοῦμεν τὸν σωτῆρα τὸν ἡμέτερον, τῆς προσκυνήσεως τὸν καρπὸν ἀναμένοντες, οὗ χορηγὸς αὐτὸς ὁ πατὴρ τυγχάνει κατὰ τὴν τοῦ κυρίου φωνήν· ἐάν τις γάρ, φησιν, ἐμοὶ διακονήσῃ, τιμήσει αὐτὸν ὁ πατήρ μου· καὶ ὁ θαυμάσιος δὲ Ἰωάννης ὁ θεολογῶν, ὁ πιστεύων εἰς τὸν υἱόν, φησίν, ἔχει ζωὴν αἰώνιον· ὁ δὲ ἀπειθῶν τῷ υἱῷ, οὐκ ὄψεται τὴν ζωήν, ἀλλ' ἡ ὀργὴ τοῦ θεοῦ μενεῖ ἐπ' αὐτόν.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ.

Ὅτι πολλαχοῦ ὁ κύριος μίαν αὐτοῦ καὶ τοῦ πατρὸς τὴν οὐσίαν ἐδίδαξεν.

Ἵνα δὲ καὶ ἐξ ἑτέρας μαρτυρίας τὸ ὁμοούσιον δείξωμεν, αὐτοῦ τοῦ κυρίου ἀκούσωμεν βοῶντος καὶ λέγοντος, οὐ τοῖς ἀποσ-

τόλοις μόνον, ἀλλὰ καὶ τοῖς ἰουδαίοις· ὁ πιστεύων εἰς ἐμὲ, οὐ πιστεύει εἰς ἐμὲ, ἀλλ' εἰς τὸν πέμψαντά με· καὶ ὁ θεωρῶν ἐμὲ, θεωρεῖ τὸν πέμψαντά με· ἐγὼ φῶς εἰς τὸν κόσμον ἐλήλυθα, ἵνα ὁ πιστεύων εἰς ἐμὲ ἐν τῇ σκοτίᾳ μὴ μείνῃ· εἰ τοίνυν ὁ θεωρῶν τὸν υἱὸν εἰς τὸν πατέρα πιστεύει, ποῦ τὸ μεῖζον καὶ τὸ ἔλαττον; ἐν γὰρ τῷ ἐλάττονι σμικρύνεται τὸ μεῖζον, καὶ οὐ γνωρίζεται· εἰ δὲ ὁ πατὴρ μείζων, πῶς ἐν τῷ υἱῷ θεωρεῖται; εἰ δὲ θεωρεῖται ἐν υἱῷ, ὡς ἐν ἴσῳ δηλονότι γνωρίζεται· δηλωτικὰ γὰρ ἀλλήλων τὰ ἴσα· καὶ πάλιν μετ' ὀλίγα αὐτὸς ὁ κύριος φησὶ τοῖς ἀποστόλοις· ἐγώ εἰμι ἡ ὁδὸς, καὶ ἡ ἀλήθεια, καὶ ἡ ζωή· οὐδεὶς ἔρχεται πρὸς τὸν πατέρα, εἰ μὴ δι' ἐμοῦ· εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἂν, καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν καὶ ἑωράκατε αὐτόν. Λέγει δὲ αὐτῷ Φίλιππος· κύριε δεῖξον ἡμῖν τὸν πατέρα σου, καὶ ἀρκεῖ ἡμῖν· λέγει αὐτῷ ὁ Ἰησοῦς· τοσοῦτον χρόνον μεθ' ὑμῶν εἰμι, καὶ οὐκ ἔγνωκάς με, Φίλιππε; ὁ ἑωρακὼς ἐμὲ, ἑώρακε καὶ τὸν πατέρα μου· καὶ πῶς σὺ λέγεις, δεῖξον ἡμῖν τὸν πατέρα; οὐ πιστεύεις ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; τὰ ῥήματα ἃ λαλῶ ἐγὼ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ· ὁ δὲ πατὴρ ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα· πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετέ μοι.

Τί τούτων τῶν ῥημάτων σαφέστερον; τί τῆς διδασκαλίας ταύτης φανερώτερον; ἀλλ' ὡς ἔοικε τῶν ἰουδαίων τὸ κάλυμμα εἰς τὴν τῶν αἱρετικῶν μεταβέβηκε διάνοιαν· διὸ τὰ τοῦ ἡλίου φανερώτερα συνορᾷν οὐκ ἐθέλουσι, τὴν αὐθαίρετον ὁμίχλην τῆς ἀγνοίας ἐπισπασάμενοι· ἡμεῖς δὲ ἀκούσωμεν τοῦ κυρίου λέγοντος· εἰ ἐγνώκειτέ με, καὶ τὸν πατέρα μου ἐγνώκειτε ἂν καὶ ἀπ' ἄρτι γινώσκετε αὐτὸν, καὶ ἑωράκατε αὐτόν· τῷ Θωμᾷ τοῦτο λέγει εἰρηκότι αὐτῷ, ποῦ ὑπάγεις οὐκ οἴδαμεν, καὶ τὴν ὁδὸν πῶς εἰδέναι δυνάμεθα; καὶ διδάσκει αὐτὸν, καὶ τοὺς λοιποὺς ἀποστόλους, ὡς αὐτῷ ὁ πεπιστευκὼς, τοῖς ὀφθαλμοῖς τῆς διανοίας θεασάμενος αὐτὸν, καὶ τοῦ πατρὸς γεγένηται θεατὴς, ὡς ἐν αὐτῷ τοῦ πατρὸς γνωριζομένου· ταῦτα

Φίλιππος μὴ συνεὶς, παρακαλεῖ αὐτὸν λέγων· δεῖξον ἡμῖν τὸν πατέρα σου, καὶ ἀρκεῖ ἡμῖν· καὶ οὐκ ἐπαινεῖται, ὡς τὸ κατὰ τοὺς αἱρετικοὺς μεῖζον ἰδεῖν ἐπιθυμήσας· ἀλλ' ἐγκαλεῖται, ὡς μὴ θεασάμενος ἐν υἱῷ τὸν πατέρα· τοσοῦτον γάρ, φησι, χρόνον μεθ' ὑμῶν εἰμὶ, καὶ οὐκ ἔγνωκάς με Φίλιππε; καὶ μὴν οὐκ αὐτὸν, ἀλλὰ τὸν πατέρα ὁ Φίλιππος ἰδεῖν ἐπεθύμησε· πῶς οὖν ἐγκαλεῖται ὡς οὐκ ἐγνωκὼς τὸν υἱὸν; τῇ ἐπαγωγῇ τοῦ ἐγκλήματος τὴν αἰτίαν δηλοῖ· ὁ ἑωρακὼς γάρ, φησιν, ἐμὲ, ἑώρακε τὸν πατέρα· καὶ πῶς σὺ λέγεις, δεῖξον ἡμῖν τὸν πατέρα; ἕτερος εἰμί, φησιν, κατὰ τὸ πρόσωπον, οὐ κατὰ τὴν φύσιν· ὅλον ἐν αὐτῷ τὸν πατέρα περιφέρω, σφραγὶς γάρ εἰμι τοῦ γεννήσαντος ἀπαράλλακτος, χαρακτήρ εἰμι τῆς τοῦ πατρὸς ὑποστάσεως, εἰκὼν φυσικὴ τῷ γεννήσαντι συνυπάρχουσα· ὅταν τοίνυν ἰδεῖν ἐθελήσῃς ἐκεῖνον, εἰς ἐμὲ ἀποβλέψας, ἑκάτερον ὄψει· ὄψει δὲ οὐ τοῖς τοῦ σώματος ὀφθαλμοῖς, ἀλλὰ τοῖς τῆς πίστεως, καὶ τοῖς τῆς πίστεως δὲ τοσοῦτον, ὅσον γνῶναι τὰς ἐνεργείας, οὐ τὴν φύσιν, ἢ τὴν οὐσίαν· πάντα γὰρ νοῦν ἡ ταύτης ὑπερβαίνει κατάληψις· διὸ ἐπήγαγεν· οὐ πιστεύεις, ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί ἐστι; τὰ ῥήματα, ἃ ἐγὼ λαλῶ, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ, ἀλλ' ὁ πατήρ μου ὁ ἐν ἐμοὶ μένων, αὐτὸς ποιεῖ τὰ ἔργα· πιστεύετέ μοι ὅτι ἐγὼ ἐν τῷ πατρὶ, καὶ ὁ πατὴρ ἐν ἐμοί· εἰ δὲ μὴ, διὰ τὰ ἔργα αὐτὰ πιστεύετε· εἰ τοίνυν τὰ αὐτὰ τῷ πατρὶ φθέγγεται, καὶ ὁ πατὴρ ἐν αὐτῷ μένει, καὶ αὐτὸς ἐν τῷ πατρὶ, καὶ ὁ ἑωρακὼς αὐτὸν ἑώρακε τὸν πατέρα· καὶ ὁ γινώσκων αὐτὸν, τὸν πατέρα γινώσκει, δῆλον ἅπασι τοῖς γε νοῦν ἔχουσι μία τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ ἡ φύσις, καὶ πάντα ἔχει τὰ τοῦ πατρὸς ὁ υἱός· οὐ γὰρ ἂν ἑτέρως ἔδειξεν ἐν ἑαυτῷ τὸν πατέρα, εἰ μὴ πάντα εἶχεν ὅσα ὁ πατὴρ, πλὴν αὐτῆς τῆς πατρότητος· τοῦτο γὰρ ἴδιον τοῦ πατρὸς, ὥσπερ τοῦ υἱοῦ ἡ υἱότης.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ.

Ἑτέρα ἀπόδειξις, ἴσον εἶναι τὸν υἱὸν τῷ πατρί.

Ταύτην ἰσότητα, καὶ ἑτέρωθεν ἔστι μαθεῖν· εἶπε γάρ, φησιν, ὁ Ἰησοῦς· νῦν ἐδοξάσθη ὁ υἱὸς τοῦ ἀνθρώπου, καὶ ὁ θεὸς ἐδοξάσθη ἐν αὐτῷ, καὶ ὁ θεὸς δοξάσει αὐτὸν ἐν ἑαυτῷ, καὶ εὐθὺς δοξάσει αὐτόν. Καὶ πάλιν· πάτερ, ἡ ὥρα ἐλήλυθε, δόξασόν σου τὸν υἱὸν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. Ὢ τῆς ὑπερβαλούσης τῶν αἱρετικῶν ἀβελτηρίας· μείζων, φησὶν, ὁ δοξάζων τοῦ δοξαζομένου· καὶ δοξάζει μὲν ὁ πατὴρ, δοξάζεται δὲ ὁ υἱός· μείζων οὖν ἄρα τοῦ υἱοῦ ὁ πατήρ· εἰ τοίνυν ὁ υἱὸς οὐκ ἐδοξάσθη μόνον, ἀλλὰ καὶ τὸν δοξάσαντα ἐδόξασεν, ποίαν χώραν σχοίη τὸ μεῖζον καὶ τὸ ἔλαττον; εἰ μὴ ἄρα κατὰ τὴν τῶν εἰρημένων ἀκολουθίαν παρὰ τὸν δοξάζοντα μεταβαίνει τὸ μεῖζον· καὶ οὕτως εὑρεθήσεται ὁ υἱὸς, ἐλάττων μὲν ἡνίκα ἂν δοξάζηται, μείζων δὲ ἡνίκα ἂν δοξάζῃ· ἀλλὰ τὸ λέγειν ταῦτα παραπληξίας καὶ μανίας ἐσχάτης· οὐ γὰρ τὸ μεῖζον καὶ τὸ ἔλαττον ἐντεῦθεν· τὸ δὲ ἴσον πατρὸς καὶ υἱοῦ διδασκόμεθα· ἀκούομεν γὰρ ὡς καὶ ὁ πατὴρ δοξάζει υἱὸν, καὶ δοξάζεται ὑφ' υἱοῦ· καὶ υἱὸς δοξάζεται ὑπὸ τοῦ πατρὸς, καὶ δοξάζει τὸν πατέρα, ὁ δεδοξασμένος· οὐχ' ὃ μὴ εἶχεν εἴληφεν· ἀλλ' ὃ εἶχεν ἐν αὐτῷ τῷ χωρίῳ, τοῦτο διδάσκει· δόξασόν με γάρ, φησι, παρὰ σαυτῷ σὺ, πάτερ, τῇ δόξῃ ᾗ εἶχον πρὸ τοῦ τὸν κόσμον εἶναι παρὰ σοί· εἰ δὲ καὶ πρὸ τοῦ τὸν κόσμον γενέσθαι, ταύτην ἔχει τὴν δόξαν, πῶς αἰτεῖ λαβεῖν ὃ εἶχεν ἀεί;

ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

Ὅτι μία πατρὸς καὶ υἱοῦ ἡ δεσποτεία.

Εἶτα δεικνὺς ὡς οὐ μόνον δοξάζεται, ἀλλὰ καὶ δοξάζει, ἐπήγαγεν· ἐφανέρωσά σου τὸ ὄνομα τοῖς ἀνθρώποις· καὶ μετ' ὀλίγα τῶν αἱρετικῶν ἐμφράττων τὰ στόματα, τὰ ἐμά, φησι, πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· οὐ τὴν κοινὴν διαιρῶν δεσποτείαν, οὐδὲ ἕτερα μὲν τὰ αὐτῷ προσήκοντα, ἕτερα δὲ τὰ τῷ πατρὶ διαφέροντα, δεῖξαι βουλόμενος· ἀλλ' ἐπειδὴ οἱ πᾶσαν βλάσφημον φωνὴν ἀφιέντες κατὰ τοῦ μονογενοῦς, αὐτὸν μὲν λαμβάνειν φασὶ, τὸν δὲ πατέρα διδόναι, δύκνυσιν ὅτι τὴν αὐτὴν ἔχει τῷ πατρὶ τῶν ἁπάντων δεσποτείαν· τὰ γὰρ ἐμά, φησι, πάντα σά ἐστι, καὶ τὰ σὰ ἐμά· οὐ τὴν διαίρεσιν τῆς δεσποτείας, ἀλλὰ τὸ κοινὸν τῆς δεσποτείας παιδεύων. Ἀλλὰ γὰρ τὸν λόγον εἰς μῆκος ἐξέτεινα τὸν περὶ πίστεως, ἐν κεφαλαίῳ διεξελθεῖν ὅρον ἐν τοῖς προοιμίοις ἐπαγγειλάμενος· δεῖξαι γὰρ βουληθεὶς ἐκ τῆς εὐαγγελικῆς διδασκαλίας τοῦ μονογενοῦς τὴν ἀξίαν, μακρότερον τῆς ὑποσχέσεως εἰργασάμην τὸν λόγον· καὶ ταῦτα βραχυλογίας ἐν ταῖς ἑρμηνείαις πεφροντικώς· εἰς αὐτὰς τοίνυν τὰς εὐαγγελικὰς βίβλους καὶ προφητικὰς τοὺς εὐσεβεῖς πέμψας, μεσταὶ γὰρ αὗται τῆς θεολογίας τοῦ υἱοῦ, ἐπὶ τὴν προκειμένην ἀκολουθίαν βαδιοῦμαι.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ.

Περὶ τοῦ ἁγίου πνεύματος.

Πιστεύομεν τοίνυν, ὡς ἔφην, εἰς θεὸν πατέρα ἄναρχον, καὶ εἰς θεὸν συναΐδιον, φύσει υἱὸν, ἐκ πατρὸς μὲν γεννηθέντα, ἀεὶ δὲ τῷ πατρὶ συνόντα, κατὰ τὴν τῶν εὐαγγελίων φωνὴν, ἐν ἀρχῇ γάρ,

φησιν, ἣν ὁ λόγος· πιστεύομεν δὲ καὶ εἰς τὸ πνεῦμα τὸ ἅγιον, τὸ εὐθὲς, τὸ ἡγεμονικὸν, τὸ ἀγαθὸν, τὸ παράκλητον, τὸ ἐκ θεοῦ προελθὸν, οὐ γεννηθὲν, εἷς γὰρ μονογενής· οὔτε μὴν κτισθὲν, οὐδαμοῦ γὰρ εὑρίσκομεν ἐν τῇ θείᾳ γραφῇ τῇ κτίσει συναριθμούμενον, ἀλλὰ πατρὶ καὶ υἱῷ συντατ τόμενον· ἐκπορευόμενον δὲ αὐτὸ ἐκ τοῦ πατρὸς ἠκούσαμεν, καὶ οὐ πολυπραγμονοῦμεν πῶς ἐκπορεύεται, ἀλλὰ στέργομεν τοῖς τεθεῖσιν ἡμῖν ὅροις ὑπὸ τῶν θεολόγων καὶ μακαρίων ἀνδρῶν.

ΚΕΦΑΛΑΙΟΝ Κ.

Ὅτι πατρὶ καὶ υἱῷ τὸ πνεῦμα συντάττεται.

Ἐδιδάχθημεν γὰρ ὑπ' αὐτοῦ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τῆς τριάδος συμπληρωτικὸν τὸ πνεῦμα τὸ ἅγιον· πορευθέντες γάρ, φησι μαθητεύσατε πάντα τὰ ἔθνη βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· τῷ δὲ πατρὶ καὶ υἱῷ συμμαρτυρούμενον, τῆς κτίσεως ἐστὶ πάσης ὑπέρτερον· διὸ καὶ ὁ μακάριος Παῦλος μετὰ πατρὸς αὐτὸ καὶ υἱοῦ κηρύττων διατελεῖ· ἡ χάρις γάρ, φησι, τοῦ κυρίου ἡμῶν Ἰησοῦ, καὶ ἡ ἀγάπη τοῦ θεοῦ καὶ πατρὸς, καὶ ἡ κοινωνία τοῦ ἁγίου πνεύματος μετὰ πάντων ὑμῶν.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ.

Ἀπόδειξις τῆς τοῦ πνεύματος δεσποτείας.

Καὶ πάλιν· διαιρέσεις δὲ χαρισμάτων εἰσὶ, τὸ δὲ αὐτὸ πνεῦμα· καὶ διαιρέσεις διακονιῶν εἰσὶν, ὁ δὲ αὐτὸς κύριος· καὶ διαιρέσεις ἐνεργημάτων εἰσὶν· ὁ δὲ αὐτὸς ἐστὶ θεὸς ὁ ἐνεργῶν τὰ πάντα ἐν πᾶσι· αὐτοῦ δὲ κηρύττων τὴν ἐξουσίαν ἐβόα· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ αὐτὸ καὶ τὸ ἓν πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ, καθὼς

βούλεται διανέμει τοῖς πιστεύουσι τὰ δῶρα· δι' αὐτοῦ γὰρ τῶν ἁμαρτημάτων ἐλάβομεν τὴν ἀπαλλαγήν· δι' αὐτοῦ τῆς ἐλευθερίας τυγχάνομεν· δι' αὐτοῦ τοῦ τῆς υἱοθεσίας χαρίσματος ἀπολαύομεν· οὐ γὰρ ἐλάβομεν πνεῦμα, φησὶν ὁ Παῦλος, δουλείας πάλιν εἰς φόβον, ἀλλ' ἐλάβομεν πνεῦμα υἱοθεσίας, ἐν ᾧ κράζομεν, ἀββᾶ ὁ πατήρ. Καὶ ἀλλαχοῦ· ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἐλευθέρωσέ με ἀπὸ τοῦ νομου τῆς ἁμαρτίας καὶ τοῦ θανάτου. Καὶ ἑτέρωθεν· ὁ δὲ κύριος τὸ πνεῦμα ἐστίν· οὗ δὲ τὸ πνεῦμα κυρίου, ἐκεῖ ἐλευθερία· τὸ δὲ τοὺς ἄλλους ἐλευθεροῦν, οὐ δουλεύει· πῶς γὰρ ἂν τοῖς ὁμοδούλοις μεταδοίη ὧν οὐ μετέχει, οὗ τυχεῖν οὐκ ἰσχύει, οὗ ἀπολαῦσαι βούλεται μὲν, ὡς εἰκὸς, οὐ δύναται δέ; εἰ δὲ μεταδίδωσι τοῖς πιστεύουσιν ἐλευθερίας, καὶ ἐλευθεροῖ τοὺς δουλεύοντας, οὐ δουλεύει δηλονότι, ἀλλὰ δεσπόζει, καὶ δεσποτικῶς τὴν ἐλευθερίαν οἷς ἐθέλει χαρίζεται· διὸ καὶ ὁ μακάριος ἔφη Παῦλος, ὅτι πάντα ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα, διαιροῦν ἰδίᾳ ἑκάστῳ καθῶς βούλεται. Διὸ καὶ ὁ προφήτης ἐν τῇ παλαιᾷ τὴν ἐξουσίαν αὐτοῦ κηρύττων ἐβόα· κύριος ἀπέστειλέ με, καὶ τὸ πνεῦμα αὐτοῦ. Καὶ ὁ θεὸς ἐγκαλῶν τοῖς ἰουδαίοις, ἐποιήσατο, φησὶ, βουλὴν, καὶ οὐ δι' ἐμοῦ, καὶ συνθήκας οὐ διὰ τοῦ πνεύματός μου· κοινωνὸν τῆς δεσποτείας δεικνὺς τὸ πνεῦμα τὸ ἅγιον· καὶ ἑτέρωθεν· διό, φησιν, ἐγὼ μεθ' ὑμῶν εἰμι, καὶ τὸ πνεῦμά μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ.

Ὅτι δημιουργὸς ὁ παράκλητος.

Καὶ ὁ Ἰὼβ δημιουργὸν αὐτὸ καὶ δεσποτικὸν εἶναι πιστεύων, ἀλλ' οὐχ' ὑπουργικὸν, οὐδὲ ποίημα· πνεῦμα θεῖον, φησὶν, τὸ ποιῆσαν με, πνοὴ δὲ παντοκράτορος ἡ διδάσκουσά με· εἰ δὲ τὴν ἀνθρωπίνην φύσιν ἐδημιούργησε, τὴν αὐτὴν οὐσίαν ἔχει πατρὶ καὶ υἱῷ· ἐν γὰρ τῇ τοῦ ἀνθρώπου ποιήσει εἶπεν ὁ θεός· ποιή-

σωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν, καὶ καθ' ὁμοίωσιν· ὧν δὲ ἡ εἰκὼν μία, τούτων δηλονότι καὶ ἡ οὐσία μία.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ.

Ὅτι ἐκ θεοῦ τὸ πνεῦμα τὸ ἅγιον.

Ὅτι δὲ οὐσίας θείας ὑπάρχει τὸ πνεῦμα τὸ ἅγιον, αὐτὸς ὁ θεὸς ἡμᾶς διδάσκει διὰ τοῦ προφήτου λέγων Ἰωήλ· ἐν ταῖς ἐσχάταις ἡμέραις, ἐκχεῶ ἀπὸ τοῦ πνεύματός μου ἐπὶ πᾶσαν σάρκα· διδάσκει δὲ ἡμᾶς ὁ δεσπότης Χριστὸς πρὸς τοὺς μαθητὰς λέγων· ὅταν δὲ παραδώσωσιν ὑμᾶς, μὴ μεριμνήσητε πῶς ἢ τί λαλήσετε, οὐ γὰρ ὑμεῖς ἐστὲ οἱ λαλοῦντες, ἀλλὰ τὸ πνεῦμα τοῦ πατρὸς ὑμῶν τὸ λαλοῦν ἐν ὑμῖν· καὶ πάλιν ὁ Παῦλος· ὑμεῖς δὲ οὐκ ἐστὲ ἐν σαρκὶ, ἀλλ' ἐν πνεύματι· εἴπερ πνεῦμα θεοῦ οἰκεῖ ἐν ὑμῖν. Καὶ μετ' ὀλίγα· ὅσοι γὰρ πνεύματι θεοῦ ἄγονται, οὗτοι εἰσὶν υἱοὶ θεοῦ· καὶ ἀλλαχοῦ· ἡμῖν δέ, φησιν, ὁ θεὸς ἀπεκάλυψε διὰ πνεύματος αὐτοῦ· τὸ γὰρ πνεῦμα πάντα ἐρευνᾷ, καὶ τὰ βάθη τοῦ θεοῦ· τίς γὰρ ἀνθρώπων οἶδε τὰ τοῦ ἀνθρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ· ἐξ ὧν εὔδηλον ὡς οὐκ ἀλλόφυλον, οὐδὲ ἑτεροούσιον, ἀλλὰ τῆς θείας φύσεως ἐστὶ τὸ πνεῦμα τὸ ἅγιον· διὸ καὶ τὰ βάθη τοῦ θεοῦ γινώσκει, καὶ ἐπίσταται τὰ τοῦ θεοῦ, ὡς ἡ ἡμετέρα ψυχὴ τὰ οἰκεῖα· εἰ δέ τις ἄγνοιαν τὴν ἔρευναν νομίζει, τοῦτο καὶ ἐπὶ πατρὸς κείμενον εὑρήσει· ὁ γὰρ ἐρευνῶν, φησὶ, τὰς καρδίας, οἶδε τί τὸ φρόνημα τοῦ πνεύματος· εἰ δὲ ὁ τῶν ὅλων θεὸς οὐκ ἀγνοῶν ἐρευνᾷ, ἀλλὰ σαφῶς ἐπίσταται πρὶν γενέσθαι τὰ πάντα, καὶ τὸ πνεῦμα τοῦ θεοῦ τὸ ἅγιον οὐ δι' ἄγνοιαν ἐρευνᾷ τοῦ θεοῦ τὰ βάθη· πῶς γὰρ ἂν ἁρμόσειε τῷ ἀγνοοῦντι; ὅτι ὡς οἶδε τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ ἐν αὐτῷ, οὕτω καὶ τὰ τοῦ θεῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ· ἐναντίον γὰρ τῇ ἐρεύνῃ ἡ εἴδησις· ἡ δὲ ψυχὴ οὐκ

ἐρευνᾷ τὰ ἑαυτῆς, ἀλλ' ἀκριβῶς ἐπίσταται· οὐκοῦν τὸ πνεῦμα τὸ ἅγιον ἀκριβῆ τὴν γνῶσιν τοῦ Θεοῦ ἔχει· καὶ ὥσπερ τὸν πατέρα οὐδεὶς οἶδεν εἰ μὴ ὁ υἱὸς, οὐδὲ τὸν υἱὸν εἰ μὴ ὁ πατὴρ, οὕτω, φησὶν, οὐδεὶς οἶδεν τὰ τοῦ θεοῦ, εἰ μὴ τὸ πνεῦμα τοῦ θεοῦ· ἐκ δὲ τῶν εἰρημένων τὸ κοινὸν τῆς φύσεως διδασκόμεθα.

Ἐπειδὴ δὲ οἱ νοσοῦντες πᾶσαν ἀναισχυντίαν, οἱ τῆς τοῦ Ἀρείου, φημὶ, καὶ Εὐνομίου μαθηταὶ βλασφημίας, αὐτόν φασιν εἶναι τὸν θεὸν τὸ πνεῦμα τοῦ θεοῦ, ἀναγκαίως ὁ μακάριος Παῦλος δείκνυσι τὸ τοῦ πνεύματος πρόσωπον· ἡμεῖς γὰρ, φησιν, οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ ἐκ τοῦ θεοῦ πνεῦμα· ἵνα ἴδωμεν τὰ ὑπὸ τοῦ θεοῦ χαρισθέντα ἡμῖν, ἃ καὶ λαλοῦμεν, οὐκ ἐν διδακτοῖς ἀνθρωπίνης σοφίας λόγοις, ἀλλ' ἐν διδακτοῖς πνεύματος ἁγίου, πνευματικοῖς πνευματικὰ συγκρίνοντες· ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ τοῦ πνεύματος τοῦ θεοῦ· μωρία γὰρ αὐτῷ ἐστι, καὶ οὐ δύναται γνῶναι ὅτι πνευματικῶς ἀνακρίνεται· τίς γὰρ ἔγνω νοῦν κυρίου, ὃς συμβιβάσει αὐτόν; ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν· οὐκοῦν τῷ εἰπεῖν ὅτι οὐ τὸ πνεῦμα τοῦ κόσμου ἐλάβομεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἐκ τοῦ θεοῦ, ἐδίδαξεν οὐχ' ὁ μονογενὴς τῷ κόσμῳ, ἀλλὰ τῆς θείας ὑπάρχων οὐσίας τὸ πνεῦμα τὸ ἅγιον· καὶ πρὸς τούτῳ ἐδίδαξεν, ὡς οὐ περὶ τοῦ θεοῦ καὶ πατρὸς ἔχει τὸν λόγον, ἀλλὰ περὶ τοῦ ἁγίου πνεύματος, οὗ τὴν χάριν λαμβάνουσιν οἱ πιστεύοντες· διὸ τὸ πνεῦμα εἶπε τὸ ἐκ τοῦ θεοῦ, διδάσκων ὡς ἐκ τοῦ πατρὸς ἔχει ὕπαρξιν, κἀκείνης ὑπάρχει τῆς φύσεως· οὐ δὲ γεννητικῶς, ἀλλ' ὡς οἶδε μόνος ὁ τὸν υἱὸν ἐπιστάμενος, καὶ ὁ μόνος τὸν πατέρα γινώσκων, καὶ τὸ μόνον πατέρα, καὶ υἱὸν ἐπιστάμενον ὃ ἐκ θεοῦ μεμαθήκαμεν, τὸν δὲ τρόπον οὐκ ἐδιδάχθημεν· ἀρκούμεθα δὲ τοῖς δοθεῖσι μέτροις τῆς γνώσεως, καὶ οὐ πολυπραγμονοῦμεν ἀγνοήτως τὰ ἀνέφικτα.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ.

Ὅτι ὁ μέγας ἀπόσταλος θεὸν εἶδε τὸ πνεῦμα τὸ ἅγιον.

Ὅτι δὲ τοῦ θεοῦ τὸ πνεῦμα τὸ ἅγιον πάλιν ὁ Παῦλος ἡμᾶς διδάσκει· ἀπελούσασθε, λέγων, καὶ ἡγιάσθητε καὶ ἐδικαιώθητε ἐν τῷ ὀνόματι τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, καὶ ἐν τῷ πνεύματι τοῦ θεοῦ ἡμῶν· τίνος γὰρ ἕνεκεν ναοὶ προσαγορευόμεθα θεοῦ διὰ τοῦ βαπτίματος τὴν τοῦ πνεύματος δεχόμενοι χάριν, εἰ μὴ θεὸς ὑπάρχει τὸ πνεῦμα τὸ ἅγιον; ὅτι δὲ ναοὶ τοῦ πνεύματος οἱ πιστοὶ προσαγορεύονται, ὁ αὐτὸς ἡμᾶς ἀπόστολος διδάσκει λέγων, οὐκ οἴδατε ὅτι τὰ σώματα ὑμῶν ναὸς τοῦ ἐν ὑμῖν ἁγίου πνεύματός ἐστὲ, οὗ ἔχεται ἀπὸ τοῦ θεοῦ, καὶ οὐκ ἐστὲ ἑαυτῶν; ἠγοράσθητε γὰρ τιμῆς· ὁ δὲ ναὸς τὸν ἐνοικοῦντα κηρύττει θεόν· διὸ καὶ ἀνωτέρω ἔλεγεν· οὐκ οἴδατε ὅτι ναὸς τοῦ θεοῦ ἐστὲ, καὶ τὸ πνεῦμα τοῦ θεοῦ οἰκεῖ ἐν ὑμῖν; εἴ τις τὸν ναὸν τοῦ θεοῦ φθείρει, φθερεῖ τοῦτον ὁ θεός· ὁ γὰρ τοῦ θεοῦ ναὸς ἅγιός ἐστιν, οἵτινες ἐστὲ ὑμεῖς· εἰ τοίνυν τὴν χάριν τοῦ πνεύματος διὰ τοῦ βαπτίσματος λαμβάνουσιν οἱ πιστεύοντες, ταύτης δὲ τῆς δωρεᾶς ἀξιούμενοι, ναὸς θεοῦ χρηματίζομεν, θεὸς ἄρα τὸ πνεῦμα τὸ ἅγιον· τούτου χάριν εἰ ἐνοίκησις καὶ ναὸς θεοῦ οἱ τῆς τοῦ πνεύματος χάριτος ἀπολαύοντες εἰσὶ καὶ καλοῦνται, τῆς θείας φύσεως δῆλον ὅτι τὸ πνεῦμα τὸ ἅγιον, καὶ πατρὶ καὶ υἱῷ ὁμοούσιον· εἰ δὲ κτίσμα, καὶ ἐξ ἑτέρας οὐσίας τυγχάνει, οὐκ εἰκότως ἂν ναοὶ προσαγορευθεῖεν θεοῦ οἱ τῆς τούτου τυγχάνοντες δωρεᾶς· εἰ δὲ ναοὶ θεοῦ ὀνομάζονται, οἱ μερικῆς τινὸς καὶ βραχείας παρὰ τούτου χάριτος ἀπολαύοντες, ἐκ τῆς προσηγορίας νοήσομεν τὴν συγγένειαν· τοῦτο καὶ τῶν ἀποστόλων ὁ κολοφὼν ἐν ταῖς πράξεσι διδάσκει, τοῦ Ἀνανίου τὴν κλοπὴν διελέγχων.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ.

Ὅτι καὶ ὁ θεσπέσιος Πέτρος συνῳδὰ περὶ τοῦ πνεύματος δέχεται.

Ἀνανία γάρ, φησιν, ἵνα τί ἠπάτησεν ὁ σατανᾶς τὴν καρδίαν σου ψεύσασθαι τὸ ἅγιον πνεῦμα, καὶ νοσφίσασθαί σε ἀπὸ τῆς τιμῆς τοῦ χωρίου; καὶ μετ' ὀλίγα· οὐκ ἐψεύσω ἀνθρώποις, ἀλλὰ τῷ θεῷ· ἐπειδὴ γὰρ ἐκεῖνος ᾠήθη λανθάνειν ὡς ἀνθρώπους τοὺς ἀποστόλους ὑφελόμενος τῆς τοῦ κτήματος τιμῆς, ὃ ἠθέλησεν, ὁ κορυφαῖος αὐτὸν διδάσκει τῶν ἀποστόλων, ὅτι τοῦ πνεύματος τὴν χάριν οἱ ἔχοντες, πάντα σαφῶς ἐπίστανται τὰ κρύβδην γινόμενα· οὐχ' ἡμᾶς γάρ, φησιν, ἐψεύσω, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον· μὴ τοίνυν ἀνθρώπους ἠπατηκέναι νόμιζε· θεὸς γάρ ἐστιν ὁ διαψευσθεὶς παρὰ σοῦ· οὐκ ἐψεύσω γὰρ ἀνθρώποις, ἀλλὰ τῷ θεῷ· οὐχ' ἡμεῖς γάρ φησιν ὑπὸ σοῦ παρεκρούσθημεν, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον, ὅπερ ἐστὶ θεὸς, ἐκ θεοῦ τὴν ὕπαρξιν ἔχον, κἀκείνης ὑπάρχον τῆς φύσεως· τοῦτο καὶ ὁ Λουκᾶς ἐν ταῖς πράξεσι δῆλον ποιεῖ· εἰπὼν γὰρ ἀνώτερον ὅτι λειτουργούντων τῷ κυρίῳ, καὶ νηστευόντων τῶν ἀδελφῶν ἐν Ἀντιοχείᾳ, εἶπε τὸ πνεῦμα τὸ ἅγιον

ΚΕΦΑΛΑΙΟΝ Κϛ.

Ἐκ πλειόνων ἀπόδειξις θεὸν εἶναι τὸ ἅγιον πνεῦμα.

Ἀφορίσατέ μοι τὸν Παῦλον δὴ καὶ τὸν Βαρνάβαν εἰς τὸ ἔργον ὃ προσκέκλημαι αὐτούς· καὶ ἐπαγαγὼν ὅτι ἐκπεμφθέντες ὑπὸ τοῦ ἁγίου πνεύματος κατῆλθον εἰς Σελεύκειαν, καὶ διηγησάμενος ὅπως περινοστήσαντες τὴν Κύπρον, καὶ τὴν Λυκίαν, καὶ Λυκαονίαν, καὶ Παμφυλίαν, καὶ Βυθυνίαν, ἐκήρυξαν τὸ εὐαγγέλιον, ἐπιφέρει· κἀκεῖθεν ἀποπλεύσαντες εἰς Ἀντιόχειαν οἱ περὶ

Βαρνάβαν καὶ Παῦλον, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν· παραγενόμενοι δὲ, καὶ τὴν ἐκκλησίαν συναγαγόντες, ἀνήγγειλαν ὅσα ἐποίησεν μετ' αὐτῶν ὁ θεός· μνημονεύσας ἄνωθεν τοῦ πνεύματος, ὡς ἀφορίσαντος τὸν Παῦλον καὶ τὸν Βαρνάβαν εἰς ὃ προσεκέκλητο αὐτοὺς ἔργον, τοῦτο μετὰ τὴν ἄνοδον ἀποκαλεῖ· καὶ δὶς τίθησι τὴν τοῦ θεοῦ προσηγορίαν· πρῶτον μὲν λέγων ὅτι εἰς Ἀντιόχειαν ἀπέπλευσαν, ὅθεν ἦσαν παραδεδομένοι τῇ χάριτι τοῦ θεοῦ εἰς τὸ ἔργον ὃ ἐπλήρωσαν· δεύτερον δὲ ὅτι συναγαγόντες τὴν ἐκκλησίαν ἀνήγγειλαν ὅσα ἐποίησεν μετ' αὐτῶν ὁ θεός· καὶ μὴν τὸ πνεῦμα τὸ ἅγιον ἦν τὸ θαυματουργοῦν, τὸ σοφίζον, τὸ σύνεσιν χορηγοῦν, τὸ τοὺς κηρύττοντας ἐνδυναμοῦν, τὸ ἐμπνέον αὐτοῖς τὸν τῆς διδασκαλίας λόγον· διὸ καὶ Παῦλος ἔλεγεν· ᾧ μὲν γὰρ δίδοται διὰ τοῦ πνεύματος λόγος σοφίας, ἄλλῳ δὲ λόγος γνώσεως κατὰ τὸ αὐτὸ πνεῦμα, ἑτέρῳ δὲ πίστις ἐν τῷ αὐτῷ πνεύματι, ἄλλῳ δὲ χαρίσματα ἰαμάτων, καὶ τὰ ἑξῆς· εἶτα διδάσκων ὡς οὐχ' ὑπουργοῦν ταῦτα διανέμει τὸ πνεῦμα τὸ ἅγιον, ἀλλὰ δεσποτικῶς οἷς θέλει χαρίζεται, ἐπήγαγε· πάντα δὲ ταῦτα ἐνεργεῖ τὸ ἓν καὶ τὸ αὐτὸ πνεῦμα διαιροῦν ἰδίᾳ ἑκάστῳ καθὼς βούλεται· εἰ τοίνυν τὸ πνεῦμα τὸ ἅγιον ταῦτα διὰ τῶν ἀποστόλων εἰργάζετο ὡς ἠβούλετο, συναγαγόντες δὲ οἱ περὶ Παῦλον καὶ Βαρνάβαν τὴν ἐκκλησίαν ἀνήγγειλαν ὅσα ἐποίησε μετ' αὐτῶν ὁ θεὸς, θεὸς ἄρα τὸ πνεῦμα τὸ ἅγιον κατὰ τὴν ἀποστόλων φωνήν.

Τοῦτο γεγονὸς καὶ ἐν Ἱεροσολύμοις ὁ θειότατος διηγεῖται Λουκᾶς· ἐσίγησε γάρ φησι ἅπαν τὸ πλῆθος, καὶ ἤκουε τοῦ Βαρνάβα καὶ τοῦ Παύλου ἐξηγουμένων, ὅσα ὁ θεὸς ἐποίησεν σημεῖα δι' αὐτῶν, καὶ τέρατα ἐν τοῖς ἔθνεσι· θεὸς οὖν ἄρα τὸ πνεῦμα τὸ ἅγιον· τὸ γὰρ αὐτὸ θαυματουργεῖ τὰ σημεῖα καὶ τὰ τέρατα· διὸ καὶ ὁ κύριος ἐν τοῖς εὐαγγελίοις ἔλεγεν· εἰ δὲ ἐν πνεύματι θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια, ἄρα ἔφθασεν ἐφ' ὑμᾶς ἡ βασιλεία τοῦ θεοῦ. Καὶ πάλιν ἐν ταῖς πράξεσιν ὁ Λουκᾶς τὸν Παῦλον φησὶν ἐπιλεξάμενον τὸν Σίλαν ἐξελθεῖν τῇ χάριτι τοῦ θεοῦ ὑπὸ τῶν ἀδελφῶν παραδο-

θέντα θεὸν αὖθις καλέσας τὸ πνεῦμα τὸ ἅγιον, τὸ διὰ τῶν ἀδελφῶν ἐν Ἀντιοχείᾳ ἀφορίσαν αὐτὸν εἰς ὃ προσεκαλέσατο αὐτὸν ἔργον. Πάλιν ὁ μακάριος Παῦλος ἐν μὲν τῇ πρὸς Κορινθίους φησὶν, οὓς ἔθετο ὁ θεὸς ἐν τῇ ἐκκλησίᾳ, τοὺς μὲν προφήτας καὶ ἀποστόλους, τοὺς δὲ ποιμένας καὶ διδασκάλους, καὶ εὐαγγελιστὰς πρὸς καταρτισμὸν τῶν ἁγίων· ἐν δὲ Μιλήτῳ συντατόμενος τοῖς ἀδελφοῖς, καὶ τῆς δοθείσης ἀναμιμνήσκων χάριτος, προσέχετε οὖν ἑαυτοῖς, φησὶν, καὶ παντὶ τῷ ποιμνίῳ ἐν ᾧ ὑμᾶς ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ κυρίου, ἣν περιεποιήσατο διὰ τοῦ αἵματος τοῦ ἰδίου.

Ὁρᾶτε πάλιν κἀνταῦθα τὴν θεολογίαν τοῦ πνεύματος· ἐκεῖ γὰρ τοῦ θεοῦ μνημονεύσας ὡς ποιμένας, καὶ διδασκάλους, καὶ εὐαγγελιστὰς χειροτονοῦντος, ἐνταῦθα περὶ τοῦ πνεύματος φησὶ, ἐν ᾧ ὑμᾶς ἔθετο τὸ πνεῦμα τὸ ἅγιον ἐπισκόπους ποιμένειν τὴν ἐκκλησίαν· διδάσκων ὡς θεὸς τὸ πνεῦμα τὸ ἅγιον, καὶ ὅτι ταυτόν ἐστιν εἰπεῖν θεὸν, καὶ πνεῦμα, διὰ τὴν κοινωνίαν τῆς φύσεως· τοῖς τε γὰρ ὑπὸ τοῦ θεοῦ καὶ πατρὸς γινομένοις συνεργεῖ ὁ υἱὸς καὶ τὸ πνεῦμα τὸ ἅγιον· τοῖς τε γὰρ ὑπὸ τοῦ θεοῦ καὶ τοῦ πνεύματος τελουμένοις συνευδοκεῖ ὡσαύτως ὁ θεὸς καὶ πατήρ. Καὶ ἑτέρωθεν πάλιν ὁ μακάριος Παῦλος θεὸν εἶναι τὸ πνεῦμα κηρύττει· ἐὰν γάρ φησι προφητεύωσι πάντες, εἰσέλθῃ δέ τις ἄπιστος ἢ ἰδιότης, ἐλέγχεται ὑπὸ πάντων· τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ φανερὰ γίνεται· καὶ οὕτως πεσὼν ἐπὶ πρόσωπον προσκυνήσει τῷ θεῷ, ἀπαγγέλλων ὅτι ὄντως ὁ θεὸς ἐν ὑμῖν ἐστιν· ἐπειδὴ γὰρ τοῦ πνεύματος ἡ προφητεία χάρισμα, διὰ δὲ τῆς ἀποκαλύψεως τοῦ πνεύματος φανερὰ τὰ τῆς καρδίας κρυπτὰ γίνεται, θεοῦ δὲ ἴδιον τὸ τὸν νοῦν τῶν ἀνθρώπων ἐπίστασθαι, ἀναγκαίως ὁ ἐλεγχόμενος διὰ τῆς προφητείας ἀνακρινόμενος προσκυνήσει τῷ θεῷ, ἀπαγγέλλων ὅτι ὄντως ὁ θεὸς ἐν ὑμῖν ἐστιν. Εἶχον δὲ τὴν χάριν ἐκεῖνοι τοῦ πνεύματος· εἰ δὲ θεὸς ἦν ἐν αὐτοῖς, ἐπειδὴ τῆς τοῦ πνεύματος ἀπήλαυον χάριτος, θεὸς ἄρα, καὶ ἐκ θεοῦ τὸ πνεῦμα τὸ ἅγιον.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ.

Ὅτι ἀκτίστως ἐκ θεοῦ τὸ πνεῦμα τὸ ἅγιον, διὸ καὶ αἰώνιον καλεῖται.

Καὶ ὁ θειότατος δὲ Πέτρος ἐν ταῖς καθολικαῖς ἐπιστολαῖς· εἰ ὀνειδίζεσθε, φησὶν, ἐν τῷ ὀνόματι τοῦ Χριστοῦ, μακάριοι ἐστὲ, ὅτι τὸ τῆς δόξης καὶ δυνάμεως καὶ τοῦ θεοῦ πνεῦμα ἐφ' ὑμᾶς ἀναπαύεται· καὶ ὁ μακάριος Ἰωάννης ἐν τῇ ἐπιστολῇ, ἐν τούτῳ, φησὶ, γινώσκομεν ὅτι ἐν αὐτῷ μένομεν, καὶ αὐτὸς ἐν ἡμῖν, ὅτι ἐκ τοῦ πνεύματος αὐτοῦ δέδωκεν ἡμῖν· τὸ δὲ ἐκ τοῦ θεοῦ κηρυττόμενον, οὐ κτίσμα, ἀλλ' ἐκ τῆς θείας οὐσίας ὑπάρχον· διὸ καὶ αἰώνιον εἰς ἀρχὴν τὸ εἶναι μὴ εἰληφὼς, ὁ μακάριος αὐτὸ Παῦλος ἀποκαλεῖ· εἰ γὰρ αἷμα, φησὶ, τράγων καὶ ταύρων καὶ σποδὸς δαμάλεως ῥαντίζουσα τοὺς κεκοινωμένους ἁγιάζει πρὸς τελειότητα, πόσῳ μᾶλλον τὸ αἷμα Χριστοῦ, ὃς διὰ πνεύματος ἁγίου ἑαυτὸν προσήνεγκεν; Εἰ τοίνυν τὸ πνεῦμα τὸ ἅγιον αἰώνιον, καὶ ὁ θεὸς αἰώνιος, δῆλον τὸ συναγόμενον· ἀλλὰ πάσας μὲν τὰς περὶ τοῦ ἁγίου πνεύματος μαρτυρίας, τὰς καὶ θεὸν αὐτὸ καὶ κύριον κηρυττούσας, καὶ πατρὶ καὶ υἱῷ συντεταγμένον λεγούσας, συλλέγειν τοῖς φιλοπόνοις καταλίπωμεν· ἡμεῖς δὲ ἐπὶ τὸ τέλος ἐπειγώμεθα τῆς προκειμένης διδασκαλίας.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ.

Ἀνακεφαλαίωσις τῆς πίστεως.

Τοίνυν μίαν τῆς τριάδος τὴν φύσιν εἶναι πιστεύομεν, μίαν οὐσίαν ἐν τρισὶν ἰδιότησιν γνωριζομένην· τὴν ἐξουσίαν ἀμέριστον, τὴν βασιλείαν ἀδιαίρετον, μίαν θεότητα τὲ καὶ κυριότητα· οὕτω γὰρ καὶ μονὰς ἐν τῷ ταυτῷ τῆς οὐσίας δείκνυται, καὶ ἡ τριὰς

οὐκ ἐν ψιλοῖς τοῖς ὀνόμασι, ἀλλ' ἐν ταῖς ὑποστάσεσι γνωρίζεται· οὐ γὰρ ἓν λέγομεν τριώνυμον, κατὰ τὴν τοῦ Σαβελλίου καὶ Φωτεινοῦ καὶ Μαρκέλλου συναίρεσίν τε καὶ σύγχυσιν· οὐ τρία ἀλλόφυλά τε καὶ ἑτεροούσια, ἄνισα καὶ ἀνόμοια, ἀλλήλων ὑπερκείμενα, νῷ καὶ γλώττῃ μετρούμενά τε καὶ ταλαντευόμενα, κατὰ τὴν Ἀρείου διαίρεσίν τε καὶ ἀλλοτρίωσιν καὶ δυσσεβῆ πολυπραγμοσύνην· ἀλλὰ τρεῖς μὲν τὰς ὑποστάσεις, μίαν δὲ τῆς τριάδος τὴν φύσιν ἀσώματον, ἄτρεπτον, ἀναλλοίωτον, ἀτελεύτητον, ἀθάνατον, ἄπειρον, ἄφθαρτον, ἀπερίγραπτον, ἀπερίληπτον, ἀόρατον, ἀσαφῆ, ἄῤῥητον, ἄφραστον, ἀκατάληπτον, ἀνέφικτον, ἀπερινόητον, αὐτοζωὴν, φῶς νοερὸν, πηγὴν ἀγαθῶν, θησαυρὸν σοφίας, δημιουργὸν τῶν ὅλων, κυβερνῶσαν τὰ πάντα, σοφίαν ἰθύνουσαν τὸ τῆς κτίσεως σκάφος· ταύτην τὴν πίστιν κατέχομεν· ταύτην γὰρ παρὰ τῶν θεολόγων ἀνδρῶν ἐδιδάχθημεν· πρὸς δὲ τοὺς ἀπὸ συλλογισμῶν διαλεγομένους, εἴπωμεν· ἐκείνη σου ἡ μερὶς, ἐκεῖνος ὁ κλῆρος, ἡμῶν δὲ μερὶς κύριος, ᾧ ἀκολουθοῦντες, τὴν ὀρθὴν ὁδὸν οὐ καταλείψομεν· ἔχομεν γὰρ καὶ τὴν θείαν γραφὴν διδάσκουσαν· διὸ βοῶμεν εἰκότως, λύχνος τοῖς ποσί μου ὁ νόμος σου, καὶ φῶς ταῖς τρίβοις μου· τούτῳ τῷ φωτὶ περιλαμπόμενοι, τῶν προοδευκότων πατέρων τὰ ἴχνη γνωρίσωμεν· ἐκείνοις ἀκολουθήσωμεν, μέχρις ἂν καταντήσωμεν οἱ πάντες εἰς τὴν ἐξανάστασιν τῶν νεκρῶν ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΠΕΡΙ ΤΗΣ ΤΟΥ ΚΥΡΙΟΥ ΕΝΑΝΘΡΩΠΗΣΕΩΣ (1).

ΚΕΦΑΛΑΙΟΝ Α.

Ὅτι ὠφέλιμον τοῖς ἀκούουσιν ἡ τῆς θείας οἰκονομίας ἀνάμνησις.

Ὁ μὲν περὶ τῆς ἁγίας τριάδος ὡς ἐν εὐσεβῶν συλλόγῳ, καὶ τοῖς εὐαγγελικοῖς δόγμασιν πειθομένων, ἀποχρώντως ἡμῖν, ὡς οἶμαι, λόγος διήνυσται· οὐ γὰρ ἀντειπεῖν ἐπὶ τοῦ παρόντος τοῖς ἀσεβέσιν, ἀλλὰ τοῖς φοιτηταῖς τῶν ἀποστόλων ἐκθέσθαι πίστιν προὐθέμεθα· ἐπειδὴ δὲ καὶ τῶν θείων εὐεργεσιῶν τὸ μέγεθος ὑφάπτειν οἶδε μειζόνως τῶν φιλοθέων τὸν πόθον, καὶ θερμοτέρους αὐτοὺς καθίστησιν ἐραστὰς τοῦ θεοῦ, ἀναγκαίως καὶ ἐπὶ τοῦτον βαδιοῦμαι τὸν λόγον, τῇ θεολογίᾳ τὴν οἰκονομίαν συνάπτων, καὶ δεικνὺς ἡλίκα καὶ ὅσα ὁ ποιητὴς τὸ ἡμέτερον εὐηργέτησε γένος· οὐ γὰρ ἐπαύσαντο πώποτε τῶν θείων δωρεῶν αἱ πηγαὶ τοῖς ἀνθρώποις τὰ ἀγαθὰ ἀναβλύζουσαι.

ΚΕΦΑΛΑΙΟΝ Β.

Διήγησις τῶν ὑπὸ τοῦ θεοῦ γεγενημένων εἰς τὴν ἀνθρώπου εὐεργεσίαν ἐξ ἀρχῆς.

Ἀλλ' ἀφ' οὗπερ τόνδε τὸν παναρμόνιον κόσμον ἐδημιούργησεν, ταῖς ποικίλαις εὐεργεσίαις τὴν ἡμετέραν ἐπικλύζει φύσιν

(1) Sequentia cuncta capitula opus constituunt prorsus diversum ab illis editis S. Cyrili scholiis de incarnatione Domini.

ὁ ποιητής· καὶ πρῶτον μὲν, μὴ ὄντα πεποίηκε, καὶ διαπλάττων ἐτίμησεν, καὶ τὸν χοῦν εἰς ἀνθρώπου φύσιν μετέβαλεν ὡς ἠθέλησε, καὶ τῷ δυσειδεῖ πηλῷ κάλλος ὁμοῦ καὶ ψυχὴν ἐδωρήσατο, ὀφθαλμῶν λαμπρότητα, καὶ γαλήνης καθαρότητα, καὶ παρειῶν λειότητα· καὶ γλώττης ἁπαλότητα, καὶ αἵματος ὀχετοὺς εἰς ἅπαντα τοῦ σώματος διαθέοντας μέλη, καὶ ἀρδείαν ἀποχρῶσαν σαρκὶ καὶ νεύροις χορηγοῦντας καὶ δέρματι, ὀστῶν ἀντιτυπίαν, καὶ τῶν ἐν τούτοις ἀποκειμένων μυελῶν τὸ χρειῶδες, καὶ τ᾽ ἄλλα ὅσα τοῦ ἀνθρωπείνου ζώου τὸ ὁρώμενον ἔχει· καὶ πρὸς τούτοις, νοῦν ἔδωκεν ἡγεμόνα, καὶ κυβερνήτην, σοφίας πληρώσας, τέχνης ἁπάσης καὶ ἐπιστήμης ἐμπλήσας, καὶ λογικὸν ἀπέφηνε τὸ πήλινον ἄγαλμα, καὶ οἰκείαν εἰκόνα πεποίηκε τὸν χοϊκὸν ἀνδριάντα, τὸ ἀρχικὸν καὶ αὐτοκρατορικὸν καὶ δημιουργικὸν τῇ νοερᾷ ψυχῇ καὶ ἀθανάτῳ δωρησάμενος· εἶτα βασιλέα κτηνῶν, καὶ τετραπόδων, καὶ ἑρπετῶν, νηκτῶν, καὶ ἀμφιβίων, καὶ τῶν ἀεροπόρων ὀρνίθων ἐχειροτόνησε· πρὸ δὲ τούτων ὥσπέρ τινα παστάδα χαριεστάτην ἄνωθεν ἐξέτεινεν οὐρανὸν, λειμῶνας ἀστέρων ἐγκαταπήξας, χρείαν τε ὁμοῦ καὶ τέρψιν παρέχοντας· ἥλιόν τε ἀνίσχειν κελεύσας, καὶ δύεσθαι, καὶ ποιεῖν ἡμέρας, καὶ νύκτας, καὶ τῷ δρόμῳ τὸν χρόνον μετρεῖν· σελήνην φθίνειν καὶ πλήθειν, καὶ ταῖς πυκναῖς μεταβολαῖς ἤδειν τε ὁμοῦ καὶ σημαίνειν κύκλον τὸν ἐνιαύσιον· γῆν δὲ κάτωθεν ὑπεστόρεσε, καὶ ποικίλον αὐτῇ κόσμον δέδωκεν, εἰς ἄλση καὶ λήϊα καὶ λειμῶνας διακρίνας· ὄρη κορυφώσας εἰς ὕψος, καὶ νάπας κοιλάνας, καὶ πεδία ὕπτια καὶ ἰσόπεδα δείξας, καὶ πηγὰς ἀναβλύζειν ἐν μέσῳ κελεύσας, καὶ ποταμοὺς τρέχειν ἄπαυστα, καὶ τ᾽ ἄλλα ὅσα γῆν καλλωπίζει καὶ θάλατταν.

ΚΕΦΑΛΑΙΟΝ Γ.

Διὰ τί τὸν ἄνθρωπον προσηγόρευσεν Ἀδάμ.

Οὕτω δημιουργήσας τὸν πρῶτον ἄνθρωπον, καὶ τῇ εἰκόνι τιμήσας, καὶ τῷ πλήθει τῶν δωρεῶν ἀποκλύσας, τίθησιν αὐτῷ τὸ τῆς φύσεως ὄνομα· Ἀδὰμ γὰρ αὐτὸν προσηγόρευσεν· τοῦτο δὲ τὸν χοῦν δηλοῖ τῇ ἑβραίων φωνῇ· μία δὲ καὶ αὕτη περὶ τὸν ἄνθρωπον κηδεμονία· ἐπειδὴ γὰρ ἔμελλε τοσούτοις ἀγαθοῖς ἐντρυφήσειν, καὶ τοσούτων ἄρχων ἀνηγορεύθη καὶ βασιλεὺς, ἵνα μὴ τῷ πλήθει τῶν δωρεῶν ὑπερμαζήσας, καὶ τῷ ὕψει τῆς ἡγεμονίας ἐπαρθεὶς κατασκιρτήσῃ τοῦ κτίσαντος, καὶ μεγίστην ἐκ τῆς τυραννίδος ἀπενέγκηται βλάβην, κατὰ τὸν πρῶτον ἀποστάτην ἐκεῖνον τὸν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα δι' ἀλαζονείαν, ἀναγκαίως ὁ σοφὸς τῶν ὅλων πρύτανις κωλύων αὐτοῦ τὸν ὄγκον τοῦ φρονήματος, Ἀδὰμ προσηγόρευσεν, ἵνα ἐκ τῆς προσηγορίας ἐννοῶν τὴν συγγένειαν, καὶ τὰς ἀφορμὰς τῆς φύσεως λογιζόμενος, καὶ τὸν πρόγονον χοῦν πρὸ τῶν ὀφθαλμῶν θεώμενος, ἑαυτὸν μὲν γνωρίζῃ, προσκυνῇ δὲ τὸν τοσαύτην εὐπρέπειαν αὐτῷ καὶ μεγαλοπρέπειαν δωρησάμενον· αὕτη πρώτη περὶ τὸν ἄνθρωπον ἐδείχθη τοῦ ποιητοῦ μετὰ τὴν δημιουργίαν πρόνοια· οὕτως ἐξ ἀρχῆς οἷά τις πατὴρ καὶ ἰατρὸς καὶ διδάσκαλος, κοσμῶν ὁμοῦ καὶ ἰατρεύων καὶ διδάσκων αὐτὸν τὴν ἀρετὴν, διετέλεσεν.

ΚΕΦΑΛΑΙΟΝ Δ.

Διὰ τί τὴν γυναῖκα ἐκ τῆς πλευρᾶς ἐδημιούργησε.

Οὕτως αὐτὸν διαπλάσας, οὕτως προσαγορεύσας, βοηθὸν αὐτῷ καὶ συνεργὸν καὶ τοῦ βίου κοινωνὸν παραχρῆμα ἐδημιούργησεν· οὐκ ἐκ μόνης δὲ τῆς γῆς, ὡς ἐπ' ἐκείνου, λαμβάνει τὰς ἀφορμὰς

τῆς διαπλάσεως, ἀλλὰ μίαν τῶν πλευρῶν ἐκείνου λαβὼν, καὶ ταύτῃ καθάπερ τινι κρηπῖδι καὶ θεμελίῳ χρησάμενος, τὴν γυναικείαν φύσιν ποιεῖ· οὐχ᾽ ὕλης ἀπορίᾳ, μόνη γὰρ αὐτῷ βουλὴ πρὸς τὴν ὅλων δημουργίαν ἤρκεσεν, ἀλλ᾽ ἐν τῇ φύσει τῆς ὁμονοίας θελήσας ἐνθεῖναι τὸν σύνδεσμον. Φυτεύει καὶ παράδεισον, καὶ φυτοῖς αὐτὸν κατακοσμεῖ παντοίοις, καὶ τοῦτον ἐνδιαίτημα τῷ ἀνθρώπῳ χαρίζεται, δεδωκὼς αὐτῷ γυμνάσιον ἀρετῆς, ἐντολὴν οὐκ ἐπίπονον, οὐδὲ γέμουσαν ἱδρῶτος, ἀλλὰ μᾶλλα σωφρονοῦντι ῥᾳδίαν.

ΚΕΦΑΛΑΙΟΝ Ε.

Διὰ τί νόμον αὐτῷ τέθεικεν.

Πάντων γὰρ τῶν φυτῶν τοῦ παραδείσου κελεύσας ἀπολαύειν, ἑνὸς ἀπηγόρευσε τὴν μετάληψιν, οὐχ᾽ ἁπλῶς, οὐδὲ τοῦτο πεποιηκὼς, ἀλλ᾽ ἵνα τὸν πεποιηκότα γνωρίζῃ, καὶ ὥσπέρ τινα ζυγὸν ἔχῃ τὸν νόμον τοῦ δημιουργήσαντος, ἵνα γινώσκῃ ὡς βασιλεύει μὲν τῶν ἐν τῇ γῇ, βασιλεύεται δὲ ὑπὸ τοῦ πλάσαντος, ἄρχει καὶ ἄρχεται. δεσπόζει καὶ δεσπόζεται, ἡγεῖται καὶ ἄγεται· ἄλλως δὲ καὶ πρόσφορος ἡ νομοθεσία τοῖς λογικοῖς, ἀλόγων γὰρ ἴδιον τὸ νόμων χωρὶς πολιτεύεσθαι· τὸν δὲ περὶ βρώσεως νόμον τέθεικεν αὐτῷ ὁ ποιητὴς, ἐπειδὴ τῶν ἄλλων νόμων ἡ θέσις περιττὴ τηνικαῦτα ἦν. τί γὰρ αὐτῷ καὶ ἀπαγορεύειν ἐχρῆν; μὴ φονεῦσαι; ἀλλ᾽ οὐκ ἦν ὁ τοῦτο πεισόμενος· ἀλλὰ μὴ μοιχεῦσαι; ἀλλ᾽ οὐδὲ βουληθεὶς οἷός τε ἦν, γυναικὸς ἄλλης οὐκ οὔσης· ἀλλὰ μὴ κλέψαι; τὰ τίνος; αὐτοῦ γὰρ ἦν ἅπαντα· ἁρμόδιος τοίνυν ὁ κόσμος ἐκεῖνος ἦν τῷ τότε καιρῷ, καὶ οὐ μόνον τοῖς μόνοις οὖσιν, ἀλλὰ καὶ παιδιόις ἀρτιγενέσι συμβαίνων. Ἐπειδὴ δὲ φθόνῳ διαβόλου, καὶ γυναικὸς εὐκολίᾳ τὴν ἀπάτην ἐδέξατο (ταύτην γὰρ ὡς ἁπαλωτέραν φενακίσας, πρότερον δι᾽ αὐτῆς, ὡς πιθανωτέρας, τὸν Ἀδὰμ ὁ τῆς ἡμετέρας φύσεως ἀλάστωρ ἐπολιόρκησεν)

ἐξεβλήθη μὲν εὐθὺς τοῦ παραδείσου, καὶ πρὸς τὴν συγγενῆ γῆν παρεπέμφθη, ἱδρῶτι καὶ πόνῳ καὶ ταλαιπωρίᾳ συγκληρωθεὶς, καὶ οἷόν τινι χαλινῷ τῇ γῇ πονίᾳ καὶ κακοπαθείᾳ καὶ ταῖς ἄλλαις τοῦ βίου πονηρίαις παραδοθείς. Ὡς γὰρ τὴν ἄπονον ἐκείνην καὶ ἄλυπον οὐκ ἐνεγκὼν εὐγνωμόνως ζωὴν, τῇ δυσημερίῃ συζεύγνυται, ἵνα τὴν ἀπὸ τῆς εὐημερίας φερομένην νόσον, διὰ τῶν πόνων ἀποσκευάσηται. Διακόπτει δὲ καὶ θανάτῳ τὸν δρόμον τῆς ἁμαρτίας ὁ νομοθέτης, καὶ αὐτὴν δείκνυσι τὴν τιμωρίαν φιλανθρωπίαν· ἐπειδὴ γὰρ τῇ παραβάσει νομοθετῶν συνέζευξε θάνατον, παραβὰς ὑπὸ τὴν τιμωρίαν ἐκείνην ἐγένετο, οἰκονομεῖ τὴν τιμωρίαν σωτηρίαν γενέσθαι· διαλύει γὰρ τοῦτο τὸ ζῷον ὁ θάνατος, καὶ παύει μὲν τὴν τῆς πονηρίας ἐνέργειαν· ἀπαλλάττει δὲ πόνων, καὶ ἱδρώτων ἐλευθεροῖ, λύπας καὶ φροντίδας ἐλαύνει, τέλος τοῖς τοῦ σώματος δίδωσι πάθεσι· τοσαύτῃ φιλανθρωπίᾳ τὴν τιμωρίαν ἐκέρασεν ὁ κριτής.

ΚΕΦΑΛΑΙΟΝ Ζ.

Διήγησις τῆς τῶν ἀνθρώπων ἀχαριστίας, καὶ τῆς τοῦ θεοῦ κηδεμονίας.

Ἀλλ' οὐδὲν ἐντεῦθεν τὸ ἀχάριστον γένος τῶν ἀνθρώπων ἀπώνατο· μείζοσι ἀγνωμοσύναις τὸν εὐεργέτην ἠμείψατο· εὐθὺς γὰρ ἀδελφοκτονία τολμᾶται, καὶ φθόνος, καὶ ψεῦδος, ἀκολασίαι τὲ, καὶ ἀσέλγειαι, ἀδικεῖαι, καὶ ἀλληλοφονίαι, καὶ τῶν ἀλλοτρίων ἁρπαγαὶ, καὶ τ' ἄλλα ὅσα ἐβλάστησεν ἡ ἁμαρτία κακά. Ἀλλ' οὐδὲ οὕτως ὁ ποιητὴς ἣν διέπλασεν ἀπηγόρευσεν φύσιν· σοφῶς δὲ αὐτὸ καὶ διαφόρως ἐτέλεσεν, ἰατρεύων, ἐπιτιμῶν, ἐγκαλῶν, εἰσηγούμενος τὸ δέον, συμβουλεύων, ἀπειλῶν, ἐπάγων τὴν ἀπειλὴν, κολάζων τοὺς πονηροὺς, στεφανῶν τοὺς ἀγαθοὺς, καὶ τὸν μὲν ἀνακηρύττων, τὸν δὲ μετατιθεὶς, τὸν δὲ ξύλῳ μετὰ τοῦ γένους διασώζων, καὶ σπινθῆρα τῇ φύσει διατηρῶν, ἐπικλύ-

ζων τὴν γῆν, διαφθείρων ὕδατι τοὺς ἐργάτας τῆς πονηρίας, αὔξων αὖθις τὸ ἀνθρώπινον γένος, μερικαῖς τιμωρίαις κοινὰς ἰατρείας ποιούμενος, πόλεις ἀσεβείαις συζώσας πυρὶ καταφλέγων οὐρανίῳ, τὸν σὺν αὐτοῖς μὲν οἰκοῦντα, τῆς δ' ἀσεβείας οὐ κοινωνοῦντα, τῆς τιμωρίας ἐλευθερῶν, εὐετηρίαις δωρούμενος, ἐν καιρῷ ὑετὸν χαριζόμενος, αὔξων ἀῤῥήτως τὰ παρὰ τῶν ἀνθρώπων καταβαλλόμενα σπέρματα, καρπῶν ἀφθονίας βρύειν τὰ δένδρα κελεύων, λιμῷ παιδεύων τοὺς οὐδὲν ἐκ τῆς εὐθηνίας ὠφεληθέντας, νόσους ἐπάγων, καὶ πάλιν ταύτας ἐλαύνων, χαλασφενδονῶν τὰς τῆς ζωῆς ἀφορμὰς, νέφεσιν ἀκρίδος τὸν ἥλιον κρύπτων καὶ τοὺς καρποὺς διαφθείρων, νεύων αὖθις, καὶ τὰ λυπηρὰ μεταβάλλων, τοὺς τὴν εὐσέβειαν ἀγαπήσαντας οὐκ ἐῶν, καὶ τούτοις φαινόμενος, καὶ φιλικῶς διαλεγόμενος, καὶ διὰ τούτων προσημαίνων τὰ μέλλοντα.

ΚΕΦΑΛΑΙΟΝ Η.

Ὅτι φιλανθρωπίας γέμει ἡ τοῦ θεοῦ ἐνανθρώπησις.

Ἐπειδὴ δὲ ταῦτα, καὶ τ' ἄλλα τὰ μυρία, καὶ δυσδιήγητα τῆς θείας οἰκονομίας εἴδη, ὀλίγους μὲν εὐεργέτησεν, οἱ δὲ λοιποὶ τῶν ἀνθρώπων ἀνηκέστως διέκειντο, τότε δὴ τότε τὸ μέγα καὶ ἄῤῥητον γίνεται τῆς οἰκονομίας μυστήριον· αὐτὸς γὰρ ὁ λόγος τοῦ θεοῦ, ὁ δημιουργὸς ἁπάσης τῆς κτίσεως, ὁ ἀχώρητος, ὁ ἀπερίγραπτος, ὁ ἀναλλοίωτος, ἡ πηγὴ τῆς ζωῆς, τὸ ἐκ τοῦ φωτὸς φῶς, ἡ ζῶσα τοῦ πατρὸς εἰκὼν, τὸ ἀπαύγασμα τῆς δόξης, ὁ χαρακτὴρ τῆς ὑποστάσεως, τὴν ἀνθρωπείαν φύσιν ἀναλαμβάνει, καὶ τὴν οἰκείαν εἰκόνα νεοποιεῖ τῇ ἁμαρτίᾳ διαφθαρεῖσαν, καὶ τὸν ἀνδριάντα τὸν ὑπὸ τοῦ υἱοῦ τῆς πονηρίας παλαιωθέντα ἀνανεοῖ, καὶ τοῦ πρώτου χαριέστερον δείκνυσιν, οὐκ ἀπὸ γῆς ὡς πάλαι τοῦτον δημιουργήσας, ἀλλ' αὐτὸς καταδεξάμενος· οὐ τὴν θείαν φύσιν εἰς ἀνθρωπείαν μεταβαλὼν, ἀλλὰ τῇ θείᾳ τὴν ἀν-

θρωπείαν συνάψας· μένων γὰρ ὃ ἦν, ἔλαβεν ὃ οὐκ ἦν· καὶ τοῦτο ἡμᾶς διδάσκει ὁ μακάριος Παῦλος βοῶν· τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ' ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· ἐξ ὧν εὔδηλον, ὡς ἡ τοῦ θεοῦ μορφὴ μένουσα ὃ ἦν, ἔλαβε τὴν δούλου μορφήν· μορφὴν δὲ καλεῖ οὐ τὸ φαινόμενον μόνον τοῦ ἀνθρώπου, ἀλλὰ πᾶσαν τὴν ἀνθρώπου φύσιν· ὥσπερ γὰρ ἡ τοῦ θεοῦ μορφὴ, τοῦ θεοῦ τὴν οὐσίαν σημαίνει, ἀνείδεον γὰρ τὸ θεῖον καὶ ἀσχημάτιστον, καὶ οὐδεὶς ἂν εἴπῃ μὴ παραπαίων, μορφὴν ἔχειν, καὶ μελῶν διαίρεσιν, τὸν ἀσώματον καὶ ἀσύνθετον, οὕτως ἡ τοῦ δούλου μορφὴ, οὐ τὸ ὁρώμενον τοῦτο μόνον, ἀλλὰ πᾶσαν τοῦ ἀνθρώπου δηλοῖ τὴν οὐσίαν.

ΚΕΦΑΛΑΙΟΝ Θ.

Ἔλεγχος τῆς τῶν αἱρετικῶν ἀσεβείας.

Τινὲς δὲ τῶν τἀναντία φρονούντων τῆς εὐσεβείας, ἐπειδὴ τοῖς ἀποστολικοῖς ῥητοῖς πειρῶνται κατατοξεύειν ἀληθείας τὰ δόγματα, Ἄρειος μὲν καὶ Εὐνόμιος ἄψυχον ἄνθρωπον ἀνειλῆφθαι παρὰ τοῦ θεοῦ λόγου διαβεβαιούμενοι, Ἀπολινάριος δὲ ἔμψυχον, νοῦ δὲ ἐστερημένον, οὐκ οἶδ' ὅ τι νοῶν τὴν ἀνθρωπείαν ψυχήν· Μαρκίων δὲ καὶ Μάνης, καὶ ἡ λοιπὴ τῆς ἀσεβείας ἐκείνη συμμορία, τὸ τῆς οἰκονομίας ἅπαν ὁμοῦ ἀρνεῖται μυστήριον· καὶ τὴν μὲν ἄῤῥητον τῆς ἁγίας παρθένου σύλληψίν τε, καὶ κύησιν, μῦθον εἶναι καὶ πλάσμα νομίζουσι· φαντασίᾳ δὲ σώματος τὴν θεότητα συγκαλυφθῆναι διαγορεύουσι, καὶ τούτῳ τῷ τρόπῳ τοῖς ἀνθρώποις ἄνθρωπον ἀναφανῆναι. Ἀναγκαῖον τῶν ἀποστολικῶν ῥητῶν σαφῆ τὴν διάνοιαν παραστῆσαι τοῖς εὐσεβέσιν, ὃς ἐν μορφῇ θεοῦ φησὶν ὑπάρχων, οὐχ' ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβὼν, ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος· ταῦτα

τῶν προειρημένων αἱρετικῶν ἕκαστος οἰκειούμενος, τῶν βδελυρῶν δογμάτων κατασκευάζει τὸ ψεῦδος. Ἄρειος μὲν καὶ Εὐνόμιος καὶ Ἀπολινάριος καὶ οἱ κατὰ τούτους, τὴν τοῦ δούλου μορφὴν καὶ τὸ σχῆμα καὶ τὸ ὁμοίωμα τοῦ ἀνθρώπου τὸ φαινόμενον τῆς ἡμετέρας φύσεως σημαίνειν διαγορεύοντες· οἱ δὲ τῆς μυσαρωτέρας φάλαγγος, τὸ σχῆμα καὶ τὸ ὁμοίωμα εἰς σκιάν τινὰ καὶ εἰκόνα καὶ φαντασίαν σώματι ἐοικυῖαν λαμβάνοντες.

ΚΕΦΑΛΑΙΟΝ Ι.

Ἑρμηνεία τοῦ ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων.

Φρενοβλάβειαν δὲ τὴν ἀμφοτέρων παραυτίκα ἡμεῖς διελέγξομεν· μορφὴν γὰρ δούλου τὴν οὐσίαν, ὡς ἀπεδείξαμεν, προσαγορεύει τοῦ δούλου· εἰ γὰρ ἡ τοῦ θεοῦ μορφὴ τὴν οὐσίαν δηλοῖ τοῦ θεοῦ, εὔδηλον ὡς καὶ ἡ τοῦ δούλου, τῆς οὐσίας ἐστὶ τοῦ δούλου σημαντική· τὸ δὲ ἐν ὁμοιώματι τοῦ ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, οὐχ' ὡς τῆς φύσεως ὀνόματα τέθεικεν ὁ ἀπόστολος, ἀλλὰ τῆς ἐνεργείας· ἐπειδὴ γὰρ ὁ δεσπότης Χριστὸς τὴν ἡμετέραν ἔχων φύσιν, τὴν ἡμετέραν οὐ κατεδέξατο πονηρίαν, ἀλλ' ἁπάσης ἦν ἁμαρτίας ἐλεύθερος, ὡς ὁ προφήτης βοᾷ, ὅτι ἀνομίαν οὐκ ἐποίησεν, οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ, καὶ ὁ τῆς ἐρήμου πολίτης Ἰωάννης συμμαρτυρεῖ λέγων, ἴδε ὁ ἀμνὸς ὁ αἴρων τοῦ κόσμου τὴν ἁμαρτίαν, ὁ μακάριος Παῦλος ἐν ὁμοιώματι ἀνθρώπου αὐτὸν ἀναγκαίως ἔφη γενέσθαι, καὶ σχήματι εὑρεθῆναι ὡς ἄνθρωπον, τῆς πονηρᾶς ἐνεργείας τῶν ἀνθρώπων ἀπηλλαγμένον· διὸ καὶ ἐπέρωθι ἔλεγε· τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

Ὁρᾶτε πῶς διὰ τούτων ἐκείνων λύει τὴν ἀσάφειαν. Ὁ θεός, φησι, τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας· οὐχ' ἁπλῶς εἶπεν, ἐν ὁμοιώματι σαρκός, διαλύων τῶν ἀσεβῶν δογμάτων τὴν βλασφημίαν· προγινώσκει γὰρ ἅπαντα ἡ χάρις τοῦ πνεύματος, ἀλλ' ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, ἵνα μάθωμεν ὡς τὸ ὁμοίωμα, διὰ τὸ πάσης ἁμαρτίας ἀπηλλάχθαι τὸν ἡμέτερον σωτῆρα, τέθεικεν· ἄνθρωπος γὰρ γενόμενος τὴν φύσιν κατὰ τὴν ἁμαρτίαν γέγονεν ἄνθρωπος· διὸ ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί· ἀνθρωπείαν μὲν φύσιν ἀναλαβών, τῆς δὲ τυραννούσης ἐν τοῖς ἀνθρώποις ἁμαρτίας τὸν ζυγὸν μὴ δεξάμενος, ἀλλὰ πᾶσαν ταύτης ἀποῤῥίψας τὴν δεσποτείαν, καὶ δείξας, ὡς δυνατὸν ἐν ἀνθρωπείᾳ φύσει τῶν τῆς ἁμαρτίας περιγενέσθαι βελῶν· οὕτως κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκί, τὸ ἀσθενὲς αὐτῆς ἐλέγξας, καὶ τὴν τυραννίδα παύσας, καὶ νικᾷν οὕτω τοὺς ἀνθρώπους διδάξας· διὸ ἐπήγαγεν ὁ μακάριος Παῦλος, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα τοῦ νόμου περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα· οὐκοῦν ἐδικαιώθημεν, τῆς ἁμαρτίας ἐν σαρκὶ κατακριθείσης· κατέκρινε δὲ ἐν σαρκὶ τὴν ἁμαρτίαν, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας γενόμενος ὁ σωτὴρ ὁ ἡμέτερος· τὴν μὲν ἀνθρωπείαν φύσιν ἀναλαβών, τὴν δὲ πάλαι ταύτης δεσπόζουσαν μὴ καταδεξάμενος ἁμαρτίαν. Οὕτως ὁ θεσπέσιος Παῦλος ἐν ὀλίγοις ῥήμασιν ἅπαν τῶν αἱρετικῶν τὸ στῖφος διέλυσεν, Ἀρείου μὲν καὶ Εὐνομίου τὴν μανίαν ἐλέγξας, ἐν τῇ τῶν προειρημένων ῥημάτων ἀρχῇ, τοῦτο γὰρ φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ, ὃς ἐν μορφῇ θεοῦ ὑπάρχων, οὐχ' ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών· οὐ γὰρ εἶπεν ἐν μορφῇ θεοῦ γενόμενος, ἀλλ' ἐν μορφῇ θεοῦ ὑπάρχων· οὐδὲ εἶπεν οὐχ' ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα ἑαυτῷ ἢ ἴσα ἀγγέλοις, ἢ ἴσα τῇ κτίσει, ἀλλ' ἴσα ἔφη θεῷ τῷ πατρί, τῷ γεννήσαντι, τῷ ἀνάρχῳ, τῷ ἀγεννήτῳ, τῷ ἀπεράντῳ, τῷ τῶν ὅλων δεσπότῃ.

Ἄρειος μὲν οὖν καὶ Εὐνόμιος ἰσχυρὸν ἐντεῦθεν ἐδέξαντο τῆς

οἰκείας ἀσεβείας τὸν ἔλεγχον, καὶ Σαβέλλιος δὲ καὶ Μάρκελλος καὶ Φωτεινὸς οἱ τὰς τρεῖς ὑποστάσεις ἀρνούμενοι, καὶ τὰς τῆς θεότητος συγχέοντες ἰδιότητας, ἐντεῦθεν βλασφημοῦντες ἐλέγχονται· ἕτερος γὰρ κατὰ τὴν ὑπόστασιν ὁ ἐν μορφῇ θεοῦ ὑπάρχων, καὶ ἕτερος ἐκεῖνος οὗ ἐν μορφῇ ὑπάρχει· καὶ ἄλλος πάλιν ὁ μὴ ἁρπαγμὸν ἡγησάμενος τὸ εἶναι ἴσα Θεῷ, παρ' ἐκεῖνον οὗ ἴσος ὑπάρχει, ἀλλ' οὐχ' ἥρπασεν τὴν πρὸς αὐτὸν ἰσότητα. Πρὸς δὲ τούτοις καὶ ὁ ψευδόνυμος Παῦλος, ὁ τὴν μὲν πρὸ αἰώνων γέννησιν τοῦ σωτῆρος ἀρνούμενος, ἰουδαϊκῷ δὲ κεχρημένος φρονήματι, καὶ τὴν ἐκ παρθένου μόνην ὁμολογῶν, ἐκ τῶν αὐτῶν τούτων λόγων, τὴν ἀξίαν τῆς ἀσεβείας αἰσχύνην καρποῦται· διδάσκεται γὰρ ὑπὸ τοῦ θείου Παύλου τὸν λαβόντα θεὸν λόγον, καὶ τὴν ἀνθρωπείαν φύσιν τὴν ληφθεῖσαν, τὴν προυπάρχουσαν μορφὴν τοῦ Θεοῦ, καὶ ἐν τῷ τέλει τῶν αἰώνων προσληφθεῖσαν ἀπ' ἐκείνης τοῦ δούλου μορφήν. Διδάσκεται δὲ πάλιν Ἀπολινάριος σὺν Ἀρείῳ καὶ Εὐνομίῳ, ὡς οὐχ' ὁ Θεὸς λόγος ὁ ἄτρεπτος, εἰς σαρκὸς φύσιν ἐτράπη, ἀλλὰ τὴν ἡμετέραν ἀναλαβὼν οὐσίαν, τὴν ἡμετέραν ἐπραγματεύσατο σωτηρίαν. Ἀπεδείξαμεν δὲ, δι' ὧν εἰρήκαμεν, μορφὴν δούλου τὴν τοῦ ἀνθρώπου προσαγορευομένην οὐσίαν· εἰ γὰρ ἡ μορφὴ τοῦ Θεοῦ, οὐσία τοῦ Θεοῦ, ἀμόρφωτον γὰρ, καὶ ἀνείδεον τὸ Θεῖον, ἁπλοῦν δὲ καὶ ἀσύνθετον καὶ ἀσχημάτιστον, καὶ ἡ τοῦ δούλου μορφὴ δηλονότι οὐσία δούλου εἰκότως ἂν νοηθείη· οὐσία δὲ δούλου, τουτέστιν ἀνθρώπου, οὐ τὸ φαινόμενον σῶμα μόνον, ἀλλὰ πᾶσα τοῦ ἀνθρώπου ἡ φύσις παρὰ τοῖς σωφρονοῦσιν νενόμισται. Πρὸς δὲ τούτοις οἱ πρωτοστάται τῆς ἀσεβείας, καὶ πρῶτοι τὴν βλασφημίαν κατὰ τῆς εὐσεβείας βλασφημήσαντες, καὶ χριστιανῶν μὲν ὄνομα ἑαυτοῖς ἐπιθέντες, πᾶσαν δὲ τὴν πολύθεον τῶν εἰδώλων πλάνην ὑπερακοντίσαντες, Μαρκίων, φημὶ, καὶ Μάνης, καὶ οἱ τῆς λοιμικῆς αὐτῶν καθέδρας μύσται καὶ γείτονες, δι' αὐτῶν τούτων τῶν ῥημάτων, τὴν οἰκείαν παραπληξίαν μανθάνουσι· τὴν κατὰ σάρκα γὰρ τοῦ κυρίου γέννησίν τε, καὶ ἐνανθρώπησιν οὐ δεχόμενοι, ἀκούουσι τοῦ

θειοτάτου Παύλου διδάσκοντος, ὡς ἡ τοῦ θεοῦ μορφὴ ἔλαβε τὴν τοῦ δούλου μορφήν· ἡ δὲ τοῦ δούλου μορφὴ οὐ φαντασία τις ἦν, οὐδὲ σκιὰ, οὐδὲ ἀέριον ἴνδαλμα, οὐδ᾽ ἄλλο τί τῶν τοιούτων προσαγορεύεται, ἀλλ᾽ ἡ τοῦ δούλου φύσις.

Εἰ δὲ τὰ ἐπαγόμενα ἡμῖν προβάλλοιντο, ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, καὶ τὸ ἐν τῇ πρὸς ῥωμαίους, ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, πρῶτον αὐτῶν τὴν ἄνοιαν διελέγξωμεν· εἰ γὰρ τὸ ἐν ὁμοιώματι ἀνθρώπου, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, φαντασίαν τινὰ ἀνθρωπείαν δηλοῖ· ἡ δὲ μορφὴ τοῦ δούλου, φύσις ἀνθρώπου, ἐναντία τίθησιν ὁ ἀπόστολος· εἰ δὲ οὐκ ἐναντία τοῦ ἀποστόλου τὰ ῥήματα, μάθωμεν ὡς ἡ τοῦ δούλου μορφὴ, οὐσία δούλου τυγχάνει. Τὸ δὲ ἐν ὁμοιώματι ἀνθρώπων γενέσθαι, καὶ σχήματι εὑρεθῆναι ὡς ἄνθρωπον, οὕτως νοήσομεν, ὅτι ὁ κύριος ἡμῶν Ἰησοῦς χριστὸς τὴν ἡμετέραν ἔχων φύσιν, οὐ κατὰ πάντα ἴσος ἡμῖν ἐτύγχανεν· ἐγεννήθη μὲν γὰρ ἐκ γυναικὸς καὶ αὐτὸς, ἀλλ᾽ οὐχ᾽ ὁμοίως ἡμῖν· ἐκ παρθενικῆς γὰρ ἐβλάστησε μήτρας· καὶ τέλειος μὲν ἄνθρωπος ἦν ὡς ἡμεῖς· εἶχε δὲ πλέον ἡμῖν τοῦ θεοῦ λόγου τὴν ἐνοίκησίν τε καὶ ἕνωσιν· καὶ σάρκα μὲν εἶχεν ἔμψυχόν τε καὶ λογικὴν ὡς ἡμεῖς, τῶν δὲ τῆς ἁμαρτίας οὐκ ἠνέσχετο κινημάτων ὥσπερ ἡμεῖς, ἀλλ᾽ ἐν σώματι ὑφ᾽ ἁμαρτίας πολεμουμένῳ, τὴν τῆς ἁμαρτίας τυραννίδα κατέλυσε· διὰ τοῦτο ἐν ὁμοιώματι ἀνθρώπου γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἑαυτὸν ἐταπείνωσεν, γενόμενος ὑπήκοος μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· καὶ αὐτὸ δὲ τὸ ὄνομα τῆς ταπεινώσεως δηλοῖ τὴν τῆς ταπεινῆς ἀνάληψιν φύσεως. Ἄλλως τε περὶ τοῦ ἐν μορφῇ θεοῦ ὑπάρχοντος διαλεγόμενος, ἐπήγαγεν· ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, διδάσκων ὅτι ὁ ἀσώματος θεοῦ λόγος ὡς ἄνθρωπος ὤφθη, φύσιν ἀνθρωπείαν ἀναλαβών· διὸ καὶ τὸ ὡς ἄνθρωπος τέθεικεν, ἵνα μὴ τροπήν τινα γεγενῆσθαι νομίσωμεν τοῦ ἀοράτου θεοῦ, ἀλλὰ πιστεύσωμεν ὅτι σάρκα λαβὼν ἔμψυχόν τε καὶ λογικὴν, θεὸς ὢν ἐν ὁμοιώματι

ἀνθρώπου ἐγένετο, καὶ σχήματι εὑρέθη ὡς ἄνθρωπος· οὕτως ὁ μέγας τῆς εὐσεβείας προαγωνιστὴς, ὁ μακάριος λέγω Παῦλος, τὰ ποικίλα καὶ διάφορα τῶν αἱρετικῶν κατέλυσε στόματα. Ἀλλ' ἐνταῦθα μὲν ἡμᾶς ὁ λόγος παρήνεγκε, τὴν τῶν αἱρετικῶν ἐλεγχων ἐμβροντησίαν, καὶ δῆλα ποιῶν τοῖς τροφίμοις τῆς εὐσεβείας τῆς ἀληθείας τὰ δόγματα· ἀναχωρεῖν οὖν, ὅθεν ἐξέβην, καιρός.

ΚΕΦΑΛΑΙΟΝ ΙΑ.

Τίνος χάριν τὴν ἀνθρωπίνην φύσιν ὁ θεὸς ἀνέλαβε λόγος.

Τοίνυν τὴν ἡμετέραν φύσιν ὁ ποιητὴς οἰκτείρας ὑπὸ τοῦ πονηροῦ πολεμουμένην, καὶ τοῖς πικροῖς τῆς ἁμαρτίας βέλεσι βαλλομένην, καὶ τῷ θανάτῳ παραπεμπομένην, ἐπαμύνει τῇ εἰκόνι, καὶ τοὺς πολεμοῦντας καταγωνίζεται, οὐ γυμνῇ τῇ δυνάμει χρησάμενος τῇ θεότητι, οὐδὲ τῇ ἐξουσίᾳ τῆς βασιλείας καταπλήξας τοὺς ἀντιπάλους, οὐκ ἀγγέλους στρατεύσας, οὐδὲ τοὺς ἀρχαγγέλους εἰς συμμαχίαν λαβὼν, οὐδὲ κεραυνοὺς, ἢ πρηστῆρας κατὰ τῶν ἐναντίων ὁπλίσας, οὐδὲ μετὰ τῶν χερουβὶμ φανεὶς ἐπὶ τῆς ἠπείρου καὶ τῶν ἡμετέρων ἀντιδίκων δικαστικῶς καταψευσάμενος, ἀλλ' εἷς τῶν ὑπευθύνων καὶ πολεμουμένων γινόμενος, καὶ κατακρύψας τὸ μεγαλοπρεπὲς τῆς θεότητος τῇ εὐτελείᾳ τῆς ἀνθρωπότητος, καὶ τὸν ὁρώμενον ἄνθρωπον εἰς πάλην ἀλείψας, καὶ νικήσαντα στεφανώσας, καὶ παιδόθεν μὲν τὴν ἀρετὴν ἐκδιδάξας, καὶ δικαιοσύνης εἰς τὸ ἀκρότατον ἀγαγὼν ἀήττητον δὲ φυλάξας, καὶ τῶν βελῶν τῆς ἁμαρτίας ἐλεύθερον· συγχωρήσας δὲ ὅμως ὑπὸ θάνατον γενέσθαι, ἵνα τῆς ἁμαρτίας τὴν ἀδικίαν ἐλέγξῃ, καὶ τοῦ θανάτου καταλύσῃ τὸ κράτος.

Εἰ γὰρ τῶν ὑπὸ τὴν ἁμαρτίαν γεγενημένων ὁ θάνατος ἐπιτίμιον, ὁ ταύτης ἀπηλλαγμένος παντάπασι, δηλονότι ζωῆς ἀπολαύειν, ἀλλ' οὐ θανάτου, δίκαιος ἦν· τοίνυν ἡττηθεῖσα ἡ ἁμαρ-

τία, καὶ τὸν νικητὴν κατακρίνασα θανάτῳ, καὶ τὴν αὐτὴν ἐξενεγκοῦσα κατὰ τοῦ νενικότος ψῆφον, ἣν ἀεὶ κατὰ τῶν ἡτ?ωμένων ἐξέφερεν ἀδικοῦσα ἑάλω· μέχρι μὲν γὰρ τοὺς ὑπηκόους τῷ θανάτῳ παρέπεμπεν, ὡς δίκαια ποιοῦσα συνεχωρεῖτο τοῦτο ποιεῖν· ἐπειδὴ δὲ τὸν ἀθῷον καὶ ἀνεύθυνον καὶ στεφάνων καὶ ἀναῤῥήσεων ἄξιον τοῖς αὐτοῖς ἐπιτιμίοις ὑπέβαλλεν, ἀναγκαίως λοιπὸν ὡς ἄδικος τῆς ἐξουσίας ἐκβάλλεται. Καὶ τοῦτο διδάσκων ὁ μακάριος Παῦλος ἔλεγεν· τὸ γὰρ ἀδύνατον τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκὸς, ὁ θεὸς τὸν ἑαυτοῦ υἱὸν πέμψας ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, καὶ περὶ ἁμαρτίας κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἵνα τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα.

Ὁ δὲ λέγει, τοιοῦτο ἐστί· σκοπὸς, φησὶν, ἦν τῷ νόμῳ, δικαιῶσαι τὴν φύσιν τῶν ἀνθρώπων· ἀδυνάτως δὲ εἶχε τοῦτο ποιεῖν, οὐ παρὰ τὴν οἰκείαν ἀσθένειαν, ἀλλὰ διὰ τὴν τῶν ἀκουόντων ῥᾳστώνην· ἐπιῤῥεπῶς γὰρ ἔχοντες περὶ τὴν τῆς σαρκὸς ἡδονὴν, ἔφυγον μὲν τὸ τῶν νομίμων ἐπίπονον, ταῖς δὲ τοῦ σώματος προσεχώρουν ἡδυπαθείαις· διὰ τοῦτο, φησὶν, ὁ τῶν ὅλων θεὸς τὸν ἑαυτοῦ πέμψας υἱὸν ἐν ὁμοιώματι σαρκὸς ἁμαρτίας, τουτέστιν ἀνθρωπίνῃ μὲν φύσει, ἁμαρτίας δὲ ἀπηλλαγμένῃ, καὶ περὶ ἁμαρτίας, κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ, ἐλέγξας αὐτῆς τὴν ἀδικίαν, ὅτι τὸν ἀνεύθυνον καὶ ἁμαρτίας ἐλεύθερον τοῖς τῶν ἁμαρτωλῶν ἐπιτιμίοις ὑπέβαλλεν· οὐχ' ἵνα δὲ δικαιώσῃ ὃν ἀνέλαβεν ἄνθρωπον, ταῦτα πεποίηκεν, ἀλλ' ἵνα, φησὶ, τὸ δικαίωμα τοῦ νόμου πληρωθῇ ἐν ἡμῖν τοῖς μὴ κατὰ σάρκα περιπατοῦσιν, ἀλλὰ κατὰ πνεῦμα· ἐπὶ γὰρ πᾶσαν τὴν φύσιν τῶν ἀνθρώπων ἡ τοῦ σωτῆρος ἡμῶν εὐεργεσία χωρεῖ· ὅτι καθάπερ τῷ προπάτορι Ἀδὰμ, καὶ τῆς ἀρᾶς ἐκοινωνήσαμεν, καὶ γεγόναμεν ἅπαντες ὑπὸ τὸν θάνατον ὥσπερ ἐκεῖνος, οὕτω τοῦ σωτῆρος Χριστοῦ καὶ τὴν νίκην οἰκειούμεθα, καὶ τῆς δόξης συμμεθέξομεν, καὶ τῆς βασιλείας συναπολαυσόμεθα. Καὶ τούτων μάρτυς ὁ μακάριος Παῦλος, τῶν τε παλαιῶν καὶ τῶν νέων ἀναμιμνήσκων, καὶ δι-

κνὺς τῶν προτέρων λύσιν γεγενημένην, τὴν τοῦ σωτῆρος ἡμῶν δικαιοσύνην.

ΚΕΦΑΛΑΙΟΝ ΙΒ.

Ὥσπερ τῷ τοῦ Ἀδὰμ θανάτῳ ἐκοινωνήσαμεν, οὕτω καὶ τῇ τοῦ κυρίου ζωῇ.

Εἰ γὰρ τῷ τοῦ ἑνὸς, φησὶ, παραπτώματι οἱ πολλοὶ ἀπέθανον, πολλῷ μᾶλλον ἡ χάρις τοῦ θεοῦ, καὶ ἡ δωρεὰ ἐν χάριτι τῇ τοῦ ἑνὸς ἀνθρώπου Ἰησοῦ χριστοῦ εἰς πολλοὺς ἐπερίσσευσε. Καὶ μετὰ βραχέα· ἄρα οὖν ὡς δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους τὸ κατάκριμα, οὕτω καὶ δι' ἑνὸς δικαιώματος δικαίωσις ζωῆς· ὥσπερ γὰρ διὰ τῆς παρακοῆς τοῦ ἑνὸς ἀνθρώπου ἁμαρτωλοὶ κατεστάθησαν οἱ πολλοὶ, οὕτω καὶ διὰ τῆς ὑπακοῆς τοῦ ἑνὸς δίκαιοι καταστάθήσονται οἱ πολλοί. Ταῦτα καὶ ἐν τῇ πρὸς Κορινθίους ἐπιστολῇ σαφέστερον διδάσκει λέγων· ὥσπερ γὰρ ἐν τῷ Ἀδὰμ πάντες ἀποθνήσκουσιν, οὕτω καὶ ἐν τῷ Χριστῷ πάντες ζωοποιηθήσονται· ἐξ ὧν εὔδηλον, ὡς ἡμετέρα νίκη τοῦ σωτῆρος ἡμῶν ἡ νίκη· καὶ γὰρ ἧττα κοινὴ γέγονεν ἡ τοῦ προπάτορος ἡμῶν ἧττα· καὶ δεῖ καθάπερ ἐκείνῳ τῆς κοινωνίας ἐκοινωνήσαμεν, οὕτως ἡμᾶς συναπολαῦσαι τῶν ἀγαθῶν τῷ ἐξ ἡμῶν μὲν ἀναληφθέντι, ὑπὲρ ἡμῶν δὲ στεφανωθέντι· διὸ καὶ ὁ θεῖος ἀπόστολος ἔλεγεν, ὅτι οὓς προέγνω καὶ προώρισε συμμόρφους τῆς εἰκόνος τοῦ υἱοῦ αὐτοῦ, εἰς τὸ εἶναι αὐτὸν πρωτότοκον ἐν πολλοῖς ἀδελφοῖς· οὓς δὲ προώρισε, τούτους καὶ ἐκάλεσε· καὶ οὓς ἐκάλεσε, τούτους καὶ ἐδικαίωσε· καὶ οὓς ἐδικαίωσε, τούτους καὶ ἐδόξασε. Καὶ ἑτέρωθεν λέγει, εἰ δὲ τέκνα, καὶ κληρονόμοι, κληρονόμοι μὲν θεοῦ, συγκληρονόμοι δὲ Χριστοῦ· εἴ περ καὶ συμπάσχομεν, ἵνα καὶ συνδοξασθῶμεν. Καὶ ἀλλαχοῦ, εἰ ὑπομένομεν, καὶ συμβασιλεύσομεν. Ὑπὲρ πάσης τοίνυν τῆς ἡμετέρας φύσεως ὁ τοῦ θεοῦ θεὸς λόγος τὴν ἡμετέραν

ἀπαρχὴν ἀνελάβετο, ἵνα διὰ πάσης αὐτὴν ἀρετῆς ἀγαγὼν, εἰς πάλην μὲν προτρέψῃ τὸν ἀνταγωνιστὴν, δείξει δὲ τὸν ἀθλητὴν ἀήττητον· καὶ τοῦτον μὲν στεφανώσῃ, ἐκείνου δὲ τὴν ἧτταν κηρύξῃ, καὶ καταθαῤῥεῖν αὐτοῦ πάντας παρασκευάσῃ· διὸ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔλεγε· νῦν μὲν, εἶδον τὸν σατανᾶν ὡς ἀστραπὴν ἐκ τοῦ οὐρανοῦ πεσόντα· νῦν δὲ, ἐὰν μή τις εἰσέλθῃ εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ, καὶ τὸν ἰσχυρὸν δήσῃ, πῶς τὰ σκεύη αὐτοῦ διαρπάσει; οἰκίαν λέγων τοῦ ἰσχυροῦ τὴν ἀνθρωπείαν φύσιν, ὡς πρὸς ἐκεῖνον αὐτομολήσασαν, καὶ πᾶν τὸ κελευσθὲν ὑπ' ἐκείνου ποιεῖν ἀνασχομένην, καὶ αὐθαίρετον δουλείαν ἐπισπασαμένην. Καὶ ἀλλαχοῦ δὲ, θαρσεῖτε, φησὶν, ἐγὼ νενίκηκα τὸν κόσμον. Καὶ ἑτέρωθεν· νῦν κρίσις ἐστὶ τοῦ κόσμου τούτου, νῦν ὁ ἄρχων τοῦ κόσμου ἐκβληθήσεται ἔξω· κἀγὼ ἐὰν ἀπὸ τῆς γῆς ὑψωθῶ, πάντας ἑλκύσω πρὸς ἐμαυτόν· καὶ προϊὼν δὲ τοῦτο λέγει σαφέστερον.

ΚΕΦΑΛΑΙΟΝ ΙΓ.

Ὅτι κοινὴ τῶν ἀνθρώπων ἐνεργεσία ἡ τοῦ σωτῆρος οἰκονομία.

Περὶ δὲ κρίσεως ὅτι ὁ ἄρχων τοῦ κόσμου τούτου κέκριται· καὶ αὖθις, ἔρχεται ὁ τοῦ κόσμου τούτου ἄρχων, καὶ ἐν ἐμοὶ οὐκ ἔχει οὐδέν· πάσης γὰρ ἀπηλλαγμένος αἰτίας, οὐδὲν εἶχε τῶν τοῦ διαβόλου σπερμάτων· διὸ καὶ τὸ τυραννεῖν κατέπαυσεν, καὶ ἐξέβαλεν ἔξω, καὶ ὑπὸ τῶν πάλαι δουλευόντων πατεῖσθαι πεποίηκε, παρεγγυῶν, καὶ λέγων, ἰδοὺ δίδωμι ὑμῖν ἐξουσίαν πατεῖν ἐπάνω ὄφεων, σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ· ἵνα δὲ καὶ αὐτὴν ἴδωμεν τὴν πρὸς τὸν διάβολον πάλην, ἔλθωμεν ἐπὶ τὴν ἱστορίαν τῶν εὐαγγελίων. Ἀνήχθη ὑπὸ τοῦ πνεύματος Ἰησοῦς εἰς τὴν ἔρημον μετὰ τὸ βάπτισμα πειρασθῆναι ὑπὸ τοῦ διαβόλου· ἀνήχθη δὲ οὐχ' ὁ θεὸς λόγος, ἀλλ' ὁ ἐκ σπέρματος Δαβὶδ ὑπὸ τοῦ θεοῦ λόγου ληφθεὶς ναός· οὐ γὰρ τὸν θεὸν λόγον

εἰς τὴν πρὸς τὸν διάβολον πάλην ἀπήγαγε τὸ πνεῦμα τὸ ἅγιον, ἀλλ' ὃν ἐν τῇ παρθένῳ διέπλασε τῷ θεῷ λόγῳ ναόν· ἄσιτος διετέλεσεν ἡμέρας τεσσαράκοντα, καὶ νύκτας ἰσαρίθμους· οὐ γὰρ ἠθέλησεν ὑπερβῆναι τῶν πάλαι νενηστευκότων τὸ μέτρον, ἵνα μὴ φύγῃ τὴν πρὸς αὐτὸν ὁ ἀντίπαλος μάχην, ἵνα μὴ γνωρίσας τὸν κρυπτόμενον, φύγῃ τὴν πρὸς τὸ φαινόμενον πάλην· τούτου χάριν μετὰ τὸν προειρημένον ἀριθμὸν τῶν ἡμερῶν, τῆς ἀνθρωπείας φύσεως τὸ πάθος ὑποφαίνει, καὶ συγχωρεῖ τῇ πείνῃ χώραν λαβεῖν, λαβὴν ἐκείνῳ διὰ τῆς πείνης διδούς· οὐ γὰρ προσελθεῖν ἐτόλμα, πολλὰ περὶ αὐτὸν θεοπρεπῆ γινόμενα θεωρῶν· καὶ γὰρ ἄγγελοι τεχθέντος ἐχόρευον, ἀνατείλας ἀστὴρ μάγους ἐποδήγησεν εἰς προσκύνησιν τοὺς τῆς αὐτῆς φάλαγγος κορυφαίους, καὶ αὐτὸν ἑώρα πᾶσαν ἐκ παιδὸς μετιόντα δικαιοσύνην, βδελυττόμενον κακίαν, μυσαττόμενον πονηρίαν, καὶ ταύτην κατὰ τὴν εἰς αὐτὸν γεγενημένην πρόῤῥησιν ὑπὸ τοῦ προφήτου, ὅτι πρὶν ἢ γνῶναι αὐτὸν ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν· ἐβόα δὲ καὶ Ἰωάννης· ἴδε ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· πατὴρ ἄνωθεν ἐμαρτύρησεν, οὗτος ἐστὶν ὁ υἱός μου ὁ ἀγαπητὸς ἐν ᾧ ηὐδόκησα· τοῦ πνεύματος ἡ χάρις ἐφοίτησε· ταῦτα καὶ ὅσα τοιαῦτα τὸν διάβολον καταπλήττοντα προσελθεῖν οὐκ εἴα τῷ τῆς ἡμετέρας φύσεως ἀθλητῇ· ὡς δὲ τῆς πείνης τὴν προσβολὴν ὑπεδέξατο, καὶ τροφῆς αὐτὸν εἶδεν ἀνθρωπίνης δεόμενον, καὶ καρτερεῖν περαιτέρω τῶν παλαιῶν ἀνδρῶν οὐ δυνάμενον, προσέρχεται, λαβὴν οἰόμενος εὑρηκέναι μεγίστην, καὶ νικήσειν ῥᾳδίως πιστεύων.

ΚΕΦΑΛΑΙΟΝ ΙΔ.

Τίνι τρόπῳ κατηγωνίσατο τὸν διάβολον ὁ δεσπότης Χριστός.

Καὶ καθάπερ ἐν τοῖς πολέμοις τὸν πανταχόθεν τῇ πανοπλίᾳ κεκα-

λυμμένον, καλαλοξεῦσαι τίς ἐθέλων ὅλον τοῖς ὀφθαλμοῖς περισκοπῶν, πόῤῥωθεν ἐρευνῶν, μέλος γεγυμνωμένον ἐπιζητῶν ἵνα τὸ βέλος ἐκεῖ ῥίψας τὸν ἀντίπαλον πλήξῃ, οὕτως ὁ διάβολος πάσῃ δικαιοσύνῃ τὸν Χριστὸν καθωπλισμένον ὁρῶν, καὶ τόπον ζητῶν ἁρμόδιον, ἵνα τὸ βέλος ἐκεῖ ἀκοντίσῃ, ὡς εἶδε τὴν πεῖναν ἀναφανεῖσαν, προσέρχεται θαρσαλέως ὡς εὑρὼν τὸ ζητούμενον, ὡς τοῦ προπάτορος ἐν αὐτῷ θεωρήσας τὸ πάθος· καὶ γὰρ ἐκεῖνον διὰ βρώσεως στερήσας τῆς ἀλύπου ζωῆς, ἱδρῶτι καὶ ταλαιπωρίᾳ καὶ θανάτῳ συνέζευξε· προσέρχεται τοίνυν λέγων· εἰ υἱὸς εἶ τοῦ θεοῦ, εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται· οὐκ ἂν δὲ τοῦτο πεποίηκεν, εἰ μὴ τὸ πάθος τῆς πείνης ὁ σωτὴρ κατεδέξατο· καὶ τοῦτο μάθοι τίς ἐκ τῶν μετὰ ταῦτα σαφῶς· ὡς γὰρ ἡττήθη παλαίσας, καὶ διὰ τῆς πείρας ἔμαθεν, ὅτι αὐτός ἐστιν ὃν οἱ προφῆται προεκήρυξαν ἅπαντες, οὐδὲ τὴν θέαν αὐτοῦ προσιόντος φέρειν ἐτόλμησεν, ἀλλ᾽ εὐθὺς ἐδραπέτευσεν, νῦν μὲν βοῶν, τί ἡμῖν καὶ σοὶ υἱὲ τοῦ θεοῦ; τί ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς; νῦν δὲ, οἶδα σε τίς εἶ ὁ υἱὸς τοῦ θεοῦ, ὁρκίζω σε μή με βασανίσης· οὕτως ἐδεδοίκει, καὶ κριτὴν ὡμολόγει· τότε πρὸ τῆς πείρας οὐ τοιούτοις ἐκέχρητο ῥήμασιν, ἀλλὰ θαῤῥῶν προσῄει λέγων· εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται· τῆς μὲν γὰρ ἄνωθεν ἐλθούσης φωνῆς ἤκουσα, φησὶ, τοῦτό σε καλεσάσης, ἀπιστῶ δὲ ἕως ἂν λάβω τὴν πεῖραν διδάσκαλον· πεῖσόν με διὰ τῶν πραγμάτων, ὡς ὃ κέκλησαι, ἀληθῶς ὑπάρχεις· ἂν γὰρ τοῦτο μάθω, φεύξομαι, καὶ δραπετεύσω, καὶ τὴν πρὸς σὲ παραιτήσομαι πάλην· οἶδα γὰρ ὅσον ἐμοῦ καὶ σοῦ τὸ διάφορον· δεῖξον τοίνυν τὸ θαῦμα καὶ τὴν θαυματουργίαν, δίδαξον τὸν τοῦ θαύματος ποιητήν· εἰπὲ ἵνα οἱ λίθοι οὗτοι ἄρτοι γένωνται.

Τούτων ἀκούσας κρύπτει μὲν τὴν θεότητα, ἐκ δὲ τῆς ἀνθρωπείας διαλέγεται φύσεως· οὐκ ἐπ᾽ ἄρτῳ μόνῳ, λέγων, ζήσεται ἄνθρωπος, ἀλλ᾽ ἐν παντὶ ῥήματι διὰ στόματος ἐκπορευομένῳ θεοῦ· δύναμαι, φησὶν, ἄνευ ἄρτου τραφῆναι· οὐ μόνον γὰρ ἄρτοις ἡ τῶν ἀνθρώπων συγκροτεῖται ζωὴ, ἀλλὰ ῥῆμα

θεοῦ ἀρκεῖ πᾶσαν τῶν ἀνθρώπων διαθρέψαι τὴν φύσιν· οὕτως ὁ ἰσραηλιτικὸς διετράφη λαὸς, τεσσαράκοντα ἔτη συλλέγων τὸ μάννα, καὶ θήρας ἀπολαύων ὀρνίθων πεπεδημένης βουλῇ θεοῦ· καὶ Ἠλίας κόρακας ἑστιάτορας ἔσχε· καὶ Ἐλισαῖος ἀγρίοις λαχάνοις τοὺς θιασώτας διέθρεψε· καὶ τί με δεῖ τὰ παλαιὰ καταλέγειν; Ἰωάννης οὗτος ὁ ἔναχος ἐν τῷ Ἰορδάνῃ βαττίζων, πᾶσαν τε τὴν ἡλικίαν ἐν τῇ ἐρήμῳ διατελέσας, ἀκρίσι τρέφεται, καὶ μελιττῶν ἀγρίων καρπῷ· οὐδὲν τοίνυν ἀπεικὸς, καὶ ἡμᾶς ἀπὸ θεοῦ ξένῃ ἑστιαθῆναι τροφῇ, καὶ ἄρτου μὴ δεηθῆναι.

Τοῦτων ἀκούσας ὁ διάβολος ἤλγησε μὲν ὡς ἡττηθεὶς, οὐκ ἀπηγόρευσε δὲ τὴν νίκην, ἀκούσας ὡς ἄνθρωπος εἴη· διὸ δευτέραν αὐτῷ, καὶ τρίτην αὖθις πεῖραν προσάγει, πῆ μὲν λέγων, εἰ υἱὸς εἶ τοῦ θεοῦ, βάλε σεαυτὸν ἄνωθεν κάτω· πῆ δὲ τὰς βασιλείας τῆς οἰκουμένης ὑποδεικνὺς, καὶ ταύτας ἀντιδώσειν ὑπισχνούμενος, εἰ πρότερον παρ' αὐτοῦ τὴν προσκύνησιν λάβοι· ὡς δὲ πάλιν αὐτὸν τῶν παλαιῶν νομίμων ἀνέμνησε, γέγραπται λέγων, κύριον τὸν θεόν σου προσκυνήσεις, καὶ αὐτῷ μόνῳ λατρεύσεις, καὶ ἐδίδαξεν ὅτι οὐκ ἀνέξεται ἑτέρῳ τινὶ τὸ θεῖον γέρας προσενεγκεῖν, καὶ ἑτέρων δὲ ὑπομέμνησε ῥημάτων τοῦ θεοῦ καὶ διδαγμάτων διαγορευόντων μὴ πειράζειν τὸν τῶν ὅλων θεὸν, ὁ μὲν ἀπέδρα τῆς ἥττης τὴν αἰσχύνην οὐ φέρων, καὶ δειλιῶν, καὶ τρέμων, καὶ τῆς τυραννίδος ἐκβληθήσεσθαι προσδοκῶν· πάντα γὰρ αὐτοῦ κενώσας τὰ βέλη, καὶ πάσας αὐτοῦ τῆς ἀπάτης τὰς πάλας προσενεγκὼν, ἄτρωτον εὗρε, καὶ ἀήττητον τὸν ἀθλητὴν καὶ ὡς τῷ Ἀδὰμ προσελθὼν, οὐχ' εὗρεν ὃν προσεδόκησεν· ἄγγελοι δὲ τῷ νικητῇ προσιόντες οἱ πόῤῥωθεν ἑώρων τὴν πάλην, καθάπερ τινες ἐρασταὶ διηκόνουν, ἐχόρευον, εὐφήμουν τὸν ἀθλητὴν, ἐστεφάνουν, ἀνεκήρυττον, ἔχαιρον ἐπὶ τῇ τῶν ὁμοδούλων ἀνθρώπων ἐλευθερίᾳ, ἐγάννυντο τοῦ ἀντιπάλου τὴν ἧτταν ὁρῶντες.

ΚΕΦΑΛΑΙΟΝ ΙΕ.

Ὅτι εἰ νοῦν οὐκ ἀνέλαβεν, οὐδὲν πρὸς ἡμᾶς ἡ κατὰ τοῦ διαβόλου νίκη. Κατὰ τοῦ Ἀπολιναρίου.

Ταῦτα τὴν Ἀπολιναρίου ἐλέγχει ματαιολογίαν, ὃς ἀντὶ νοῦ τὸν Θεὸν λόγον ἐνοικῆσαι λέγει τῇ προσληφθείσῃ σαρκί· εἰ γὰρ νοῦν οὐκ εἶχεν ἀνθρώπινον ἡ ἀναληφθεῖσα φύσις, θεὸς μὲν ὁ πρὸς τὸν διάβολον ἀγωνισάμενος ἦν· Θεὸς δὲ ὁ τὴν νίκην ἀναδησάμενος· θεοῦ δὲ νενικηκότος, ἐγὼ μὲν οὐδὲν ἀπωνάμην τῆς νίκης, ὡς οὐδὲν εἰς ταύτην εἰσενεγκὼν, ἀλλὰ καὶ τῆς ἐντεῦθεν εὐφροσύνης γεγύμνωμαι, ὡς ἐπὶ τροπαίοις γαβριῶν ἀλλοτρίοις· ὁ δὲ διάβολος αὐχεῖ, καὶ κομπάζει, καὶ μεγαφρονεῖ, καὶ σεμνύνεται, ὡς Θεῷ παλαίσας, καὶ ὑπὸ θεοῦ ἡττηθείς· μέγα γὰρ αὐτῷ καὶ τὸ ἡττηθῆναι ὑπὸ Θεοῦ· ὅτι εἰ ὁ θεὸς λόγος ἦν ἀντὶ νοῦ ἐν τῷ λειφθέντι, καὶ ὁ διάβολος δικαιολογίαις χρήσαιτο ἂν εὐλόγοις, καὶ εἴποι ἂν εἰκότως· ἐγὼ, δέσποτα καὶ ποιητὰ τῶν ὅλων, οὐ πρὸς σὲ τὴν μάχην ἀνεδεξάμην· οἶδα γάρ σου τὴν ἀξίαν, ἐπίσταμαι τὴν ἐξουσίαν, γινώσκω τὴν δεσποτείαν, ὁμολογῶ τὴν δουλείαν, εἰ καὶ ἀποστασίαν νοσῶ· παραχωρῶ δὲ καὶ ἀγγέλοις τῆς νίκης, καὶ πᾶσι τοῖς οὐρανίοις δήμοις, ὧν ποτὲ καὶ ὁ ταλαίπωρος εἷς ὑπῆρχον ἐγώ· τὴν δὲ μάχην πρὸς τοῦτον ἀνεδεξάμην, ὃν ἀπὸ πηλοῦ μὲν διέπλασας, κατ' εἰκόνα δὲ σὴν ἐποίησας, καὶ ἐτίμησας τῷ λόγῳ, καὶ παραδείσου πολίτην κατέστησας, καὶ γῆς καὶ θαλάττης δεσπότην ἀπέφηνας· τοῦτον μέχρι τῆς σήμερον ἡμέρας νικῶν, καὶ βάλλων, καὶ τῷ θανάτῳ παραπέμπων διατελῶ· τοῦτον εἰς τὸ στάδιον ἀγαγὼν, καὶ παλαίειν ἐμοὶ κελεύσας, γενοῦ θεατὴς αὐτὸς καὶ τῶν παλαισμάτων ἀγωνοθέτης· εἰ δὲ βούλει καὶ τὰ παιδοτρίβου ποιεῖν, δίδαξον παλαίειν, ὑπόδειξον αὐτῷ τὰς τῆς νίκης λαβάς· ἄλειψον ὡς θέλεις, μόνον μὴ συμμαχήσας παλαίοντι· οὐ γὰρ οὕτω θρασὺς ἐγὼ, καὶ τοῦ

φρονεῖν ἐξεστηκὼς, ὡς σοὶ τῷ ποιητῇ παλαίειν ἐπιχειρῆσαι· ταῦτα ἂν εἶπεν ὁ διάβολος δικαίως πρὸς τὸν σωτῆρα Χριστόν· εἴπερ οὐκ ἄνθρωπος ἦν, ἀλλὰ Θεὸς ὁ ἀντὶ ἀνθρώπου παλαίων· εἰ γὰρ νοῦς ἀνθρώπινος οὐκ ἦν ἐν αὐτῷ, θεὸς ἀντὶ νοῦ ὑπάρχων τὰ τῷ νῷ ἐνήργει προσήκοντα· Θεὸς μὲν ἦν ὁ τῷ σώματι συμπεινάσας, Θεὸς δὲ ὁ διψήσας, καὶ κοπιάσας, καὶ ἄλλα πάντα τὰ ἀνθρώπινα ὑπομείνας παθήματα· εἰ δὲ Θεὸς ὁ παλαίσας, καὶ νικήσας, κἀγὼ τῆς νίκης ἐστέρημαι· Θεὸς δὲ ὁ τὴν δικαιοσύνην ἅπασαν κατορθώσας· εἴπερ, ὡς φασὶν οἱ τῆς Ἀπολιναρίου τερθρείας ὁμολογηταὶ, ἐπειδὴ ἀδύνατον ἦν καὶ ἐν ἀνθρωπίνῳ πληρῶσαι τῆς δικαιοσύνης τοὺς νόμους, ἀνελάβετο τοῦτον ὁ θεὸς λόγος.

ΚΕΦΑΛΑΙΟΝ Ιϛ.

Ὅτι οἱ ἁμαρτάνοντες ἀπολογίαν ἔχουσιν, εἰ ὡς ἀσθενῆ τὸν νοῦν οὐκ ἀνέλαβεν ὁ Θεὸς λόγος.

Τοῦτο δὲ λέγοντες, πρῶτον μὲν ἀδυναμίαν προσάπτουσιν οὐ τὴν τυχοῦσαν αὐτῷ τῷ θεῷ, εἴπερ, ὡς φασὶν, οὐχ' οἷόν τε ἦν τοῦ νοῦ τοῦ ἀνθρωπίνου συνόντος δικαιῶσαι τὸν ἄνθρωπον· ἔπειτα δὲ καὶ πᾶσι τοῖς ἁμαρτάνουσι, καὶ τοὺς θείους νόμους παραβαίνουσιν, ἀπολογίας ὑπανοίγουσι θύραν· εἴποιεν γὰρ εἰκότως πρὸς τὸν τῶν ὅλων θεόν· οὐκ ἀσύγνωστα, δέσποτα, πεπλημμελήκαμεν, οὐδὲ τιμωρίας ἄξια, νοῦν ἡγεμόνα λαβόντες ἀσθενῆ, καὶ φυλάττειν τοὺς σοὺς οὐ δυνάμενον νόμους· καὶ μαρτυροῦσι πατριάρχαι, καὶ προφῆται, καὶ τῶν θεοφιλῶν ἀνθρώπων τὰ τάγματα, τῶν τε πρὸ τοῦ νόμου, καὶ τῶν μετὰ τὸν νόμον, οἱ ἐν ἀζυγίᾳ, οἱ ἐν ζυγῷ, οἱ ἐν πλούτῳ, οἱ ἐν ἀκτησίᾳ πληρῶσαι σου τὰς ἐντολὰς μὴ δυνηθέντες διὰ τοῦτον· καὶ ταῦτα τῷ παναγίῳ σου πνεύματι βοηθούμενοι· καὶ τί δεῖ τὰ πολλὰ λέγειν· αὐτὸς, ὦ δέσποτα, ἐν σαρκὶ παραγέγονας, καὶ σάρκα μὲν ἡμετέραν ἀνέλαβες, τὸν δὲ νοῦν ὡς κωλύοντα τῆς ἀρετῆς τὴν κτῆσιν, καὶ τῆς ἁμαρτίας τὴν

ἀπάτην ῥαδίως ὑποδεχόμενον, ἀπέῤῥιψας, καὶ οὐκ ἠνέσχου λαβεῖν· γέγονας δὲ ἀντὶ νοῦ τῇ σαρκὶ, καὶ τῷ τρόπῳ τούτῳ τὴν δικαιοσύνην κατώρθωσας· τούτῳ τῷ τρόπῳ τὴν ἁμαρτίαν νενίκηκας, θεὸς γὰρ ὑπάρχεις, βουλῇ ποιῶν τὸ δοκοῦν, νεύματι μεταςκευάζων τὰ πράγματα· ἡμεῖς δὲ νοῦν ἔχοντες τὸν ἀνθρώπινον, ὃν ἀναλαβεῖν οὐκ ἠθέλησας, ἀναγκαίως ὑπὸ τὴν ἁμαρτίαν τυγχάνομεν, τοῖς σοῖς ἀκολουθῆσαι ἴχνεσιν οὐκ ἰσχύσαντες. Τί γὰρ νοῦς ἀνθρώπινος πρὸς θεοῦ δυνάμιν καὶ θεοῦ σοφίαν, καὶ φῶς, καὶ δικαιοσύνην, καὶ ζωὴν, καὶ τὰς ἄλλας ἐνεργείας τῆς σῆς οὐσίας, αἳ καθάπερ ἀκτῖνες καὶ λαμπηδόνες ἐκ τῆς σῆς ανίσχουσι φύσεως; ταῦτ᾽ ἂν εἰκότως εἴποιεν οἱ τῇ ἁμαρτίᾳ δουλεύειν αἱρούμενοι, εἴπερ ὁ θεὸς λόγος ἀληθῶς ἂν συνανέλαβεν ἄνθρωπον, τούτῳ τῷ τρόπῳ μηχανησάμενος τὸ ἀναμάρτητον.

ΚΕΦΑΛΑΙΟΝ ΙΖ.

Κατασκευὴ, ὅτι εὔλογος ἡ τοῦ νοῦ ἀνθρωπίνου ἀνάληψις.

Ἀλλὰ τὴν μὲν ἀδολεσχίαν ἐκείνων καταλίπωμεν ἐπὶ τοῦ παρόντος· ἡμεῖς δὲ ἐπὶ τὴν προκειμένην ὑπόθεσιν ἐπανέλθωμεν, καὶ δείξωμεν, τὴν τοῦ σωτῆρος ἡμῶν οἰκονομίαν ἀναγκαίαν γεγενημένην· ἐπειδὴ γὰρ ἅπας ὁ ἄνθρωπος ἠπατήθη, καὶ ἅπας ὑπὸ τὴν ἁμαρτίαν ἐγένετο; καὶ πρὸ τοῦ σώματος δὲ τὴν ἀπάτην ὁ νοῦς ὑπεδέξατο, ἡ τοῦ νοῦ γὰρ πρότερον συγκατάθεσις τὴν ἁμαρτίαν σκιαγραφεῖ, εἶθ᾽ οὕτως διὰ τῆς ἐνεργείας τὸ σῶμα ταύτην μορφοῖ, εἰκότως ὁ δεσπότης Χριστὸς τὴν πεπτωκυῖαν φύσιν ἀναστῆσαι βουλόμενος, πᾶσι χεῖρα ὀρέγει, καὶ κειμένην ἐγείρει τὴν σάρκα φημὶ καὶ τὸν νοῦν, ὃς ἐγεγόνει κατ᾽ εἰκόνα τοῦ κτίσαντος· ἀόρατός τε γάρ ἐστι, καὶ ἀθάνατος, ἀνέφικτός τε, καὶ ἀκατάληπτος, οὐδ᾽ ἑαυτὸν ἐπιστάμενος, πρὸς δὲ τούτοις καὶ ἀπερίγραφος· εἴπερ εἰς τὴν τῶν λογισμῶν ἀποβλέψαιμεν φαντασίαν, ἡγεμονίᾳ τε καὶ ἐξουσίᾳ τετιμημένος, τέχναις καὶ ἐπιστήμαις

κεκοσμημένος, βραχύς τις, καὶ νέος δημιουργος, ἢ τό γε ἀληθέστερον εἰπεῖν τοῦ δημιουργοῦ μιμητὴς, βασιλεὺς τῆς ὁρωμένης κτίσεως, ἢ βασιλέως εἰκὼν, φόρους συλλέγων ἐκ γῆς, ἐκ θαλάττης, ἐξ ἀέρος, ἐξ ἡλίου καὶ σελήνης καὶ ἀστέρων, ἐξ οὐρανοῦ καὶ νεφῶν, ἐκ προβάτων καὶ βοῶν καὶ τῶν ἄλλων κτηνῶν, μᾶλλον δὲ πάντας αὐτῶν τοὺς καρποὺς δρεπόμενος· δι' αὐτὸν γὰρ ἐγένετο τὰ ὁρώμενα, Θεὸς γὰρ τούτων ἀπροσδεής.

Οὐκ οὖν ἠτίμασε τὸν οὕτω τίμιον, τὸν θεραπείας δεόμενον, οὐδὲ τὸ φθειρόμενον καὶ νόσῳ καὶ γήρᾳ δουλεῦον καὶ θανάτῳ ἀνέλαβε, τὸ δὲ λογικὸν καὶ ἀθάνατον καὶ κατ' εἰκόνα γεγενημένον ὑπερεῖδε, καὶ ταῦτα κακῶς, ὥς φασι, διακείμενον· ἀλλὰ πᾶσαν τὴν φύσιν παλαιωθεῖσαν ἐνεοποίησε, καὶ τὸ μὲν αὐτῆς καινὸν ἀπειργάσατο, τὸ δὲ πεπαλαιωμένον καὶ διεφθαρμένον ἀνίατον εἴασε· καὶ ταῦτα τιμιώτατον ὑπάρχον, καὶ ἀθανασίᾳ τετιμημένον, καὶ λόγῳ κεκοσμημένον, καὶ τῆς τῶν νοητῶν μοίρας τυγχάνον· τῶν ἀλλοτριωτάτων γὰρ τὸ μὲν σῶμα τὸ πήλινον, καὶ χοϊκὸν, καὶ πάθεσι συνεζευγμένον, καὶ προσληφθῆναι, καὶ ἀναληφθῆναι, καὶ ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθιδρυνθῆναι· τὸν δὲ νοῦν τὸν ἀόρατον, τὸν ἀθάνατον, τὸν ἡγεμόνα τοῦ ζώου, τὸν κατ' εἰκόνα θείαν γεγενημένον, τὸν ἀφθαρσίᾳ τετιμημένον, τὸν τοῦ σώματος ἡνίοχον, καὶ κυβερνήτην καὶ μουσικὸν, δι' ὃν οὐκ ἄλογος ἡ ἀνθρωπεία φύσις, ἀλλὰ σοφίας καὶ τέχνης καὶ ἐπιστήμης ἀνάπλεως, τοῦτον ἀπεῤῥίφθαι κάτω, καὶ τῆς τοῦ σώματος μὴ μεταλαγχάνειν τιμῆς, δι' ὃν τὸ σῶμα τῆς λογικῆς ἐγένετο κτίσεως, δι' ὃν νομοθεσίαι, καὶ προφητεῖαι, δι' ὃν ἀγῶνες, καὶ πάλαι, καὶ νῖκαι, καὶ ἀναῤῥήσεις, καὶ στέφανοι· δι' ὃν καὶ τὸ σῶμα τὸ συναθλοῦν ἆθλον τῶν πόνων ἔχει τὴν τὸν οὐρανὸν βασιλείαν· δι' ὃν καὶ αὐτὴ τοῦ σωτῆρος ἡμῶν ἡ παρουσία γεγένηται, καὶ τὸ τῆς οἰκονομίας ἐπραγματεύθη μυστήριον· οὐ γὰρ ὑπὲρ ἀψύχων ἢ ἀνοήτων τὰ σωτήρια κατεδέξατο πάθη, οὐδ' ὑπὲρ ἀλόγων κτηνῶν ἢ λίθων ψυχῆς ἐστερημένων, ἀλλ' ὑπὲρ ἀνθρώπων ψυχὴν ἀθάνατον ἔνοικον κεκτημένων.

ΚΕΦΑΛΑΙΟΝ ΙΗ.

Λύσις τῶν αἱρετικῶν προβλημάτων.

Ἀλλ' ὁ τὸν ὕθλον προτιμήσας τῆς ἀληθείας Ἀπολινάριος, καὶ τῶν εὐσεβῶν δογμάτων τὴν οἰκείαν προτάξας ἀδολεσχίαν, τὴν μὲν σάρκα τὸν θεὸν λόγον ἀνειληφέναι, φησὶ, καὶ ταύτῃ καθάπερ τινι παραπετάσματι χρήσασθαι· τοῦ δὲ νοῦ μὴ δεηθῆναι, αὐτὸν δὲ ἀντὶ νοῦ γενέσθαι τῷ σώματι. Ἀλλ' ὦ βέλτιστε, εἴποι τίς ἂν πρὸς αὐτὸν οὐδὲ τοῦ σώματος ὁ θεὸς λόγος ἔχρηζεν, ἀπροσδεὴς γάρ· ἠδύνατο δὲ καὶ μόνῳ προστάγματι τὴν ἡμετέραν πραγματεύσασθαι σωτηρίαν· ἀλλ' ἠθέλησεν ἔχειν τινὰ καὶ ἡμᾶς εἰς τὸ κατορθούμενον κοινωνίαν, οὗ χάριν λαβὼν φύσιν τὴν ἡμαρτηκυῖαν, πόνοις αὐτὴν οἰκείοις δικαιώσας· τῶν τε πικρῶν τυράννων ἀπήλλαξεν ἁμαρτίας, καὶ διαβόλου, καὶ θανάτου, καὶ τῶν ἐπουρανίων θρόνων ἠξίωσε· καὶ διὰ τοῦ ληφθέντος παντὶ τῷ γένει τῆς ἐλευθερίας μετέδωκεν· ἀλλ' οὐδὲν τούτων εἰς νοῦν λαβὼν ὁ σοφώτατος τὸν μεγαλοφωνότατον κήρυκα τῆς θεολογίας, τὸν εὐαγγελιστὴν Ἰωάννην, μάρτυρα τῆς οἰκείας ἀνοίας ἔχειν ἡγεῖται· ὁ λόγος γάρ φησι, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν· καὶ ταῦτα σαφῶς εἰδὼς, ὡς πολλαχοῦ τὸ πᾶν ἀπὸ μέρους ἡ θεία γραφὴ προσαγορεύει, καὶ πῆ μὲν ἀπὸ τῆς ψυχῆς πάντα καλεῖ τὸν ἄνθρωπον, πῆ δὲ ἀπὸ τῆς σαρκὸς ὅλον τὸ ζῶον δηλοῖ· πᾶσαι γὰρ αἱ ψυχαὶ, αἱ εἰσελθοῦσαι φησὶν ἅμα Ἰακὼβ εἰς Αἴγυπτον ἑβδομήκοντα πέντε· εὔδηλον δὲ ὡς οὐκ ἀσώματοι ἦσαν οἱ τοῦ Ἰακὼβ υἱοί τε, καὶ ἔκγονοι, ἀλλ' ἀπὸ μέρους τὸ πᾶν ὁ ἱστοριογράφος ἐδήλωσε· καὶ πάλιν, ψυχὴ ἡ ἁμαρτάνουσα αὐτὴ ἀποθανεῖται· οὐδεὶς δὲ ἔγνω πώποτε ψυχὴν ἄνευ σώματος ἁμαρτίᾳ περιπεσοῦσαν· καὶ αὖθις, οὐ μὴ καταμένει τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις, διὰ τὸ εἶναι αὐτοὺς σάρκα· καὶ ὁ προφήτης ἑτέρωθι, πᾶσα σὰρξ χοῦς, καὶ πᾶσα δόξα ἀνθρώπου ὡς

ἄνθος χόρτου· καὶ ὁ μακάριος Δαβὶδ, ἐμνήσθη φησὶν ὅτι σάρξ εἰσὶ, πνεῦμα πορευόμενον, καὶ οὐκ ἐπιστρέφον· παντὶ δὲ δήπουθεν γνώριμον, ὡς οὐκ ἄψυχοι ἦσαν οὗτοι ὧν κατηγορεῖ, καὶ οἷς νομοθετεῖ, καὶ ὧν ἑρμηνεύει τὴν φύσιν.

Οὐ μόνον δὲ τοὺς κατηγορουμένους [λέγει ἡ γραφὴ] ἀλλὰ καὶ τῶν ἐπαινουμένων τοὺς κορυφαίους· καὶ τούτων μάρτυς ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Γαλάτας λέγων· ὅτε δὲ εὐδόκησεν ὁ Θεὸς ὁ ἀφορίσας με ἐκ κοιλίας μητρός μου, καὶ καλέσας διὰ τῆς χάριτος αὐτοῦ ἀποκαλύψαι τὸν υἱὸν αὐτοῦ ἐν ἐμοὶ, εὐθέως οὐ προσανεθέμην σαρκὶ καὶ αἵματι, ἀλλὰ πρὸς τοὺς πρὸ ἐμοῦ ἀποστόλους ἀπῆλθον· εἰ δὲ οὐ μόνον ἐπὶ τοῦ σαρκικοῦ φρονήματος, καὶ τῆς θνητότητος τὸ τῆς σαρκὸς φρόνημα λαμβάνεται, ἀλλὰ καὶ ἐπὶ πάσης τῆς τοῦ ἀνθρώπου φύσεως, εὔδηλον ὡς τὸ ὁ λόγος σὰρξ ἐγένετο, οὐ τὸ φαινόμενον τοῦ ζώου μόνον, ἀλλ' ὅλον σημαίνει τὸν ἄνθρωπον· οὐδὲ τροπήν τινα τῆς θείας οὐσίας εἰς σάρκα φησὶ γεγενῆσθαι, ἀλλὰ τὴν ὑπὸ τοῦ θεοῦ λόγου ἀνάληψιν τῆς ἀνθρωπείας κηρύττει φύσεως· ὥσπερ γὰρ τὸ, Χριστὸς ἡμᾶς ἐξηγόρασεν ἐκ τῆς κατάρας, μεταβολὴν τῆς τῶν ἀγαθῶν πηγῆς αἰνίττεται, ἀλλὰ τὴν δι' αὐτοῦ γενομένην τῆς ἁμαρτίας, ἤγουν τῆς κατάρας ἀπαλλαγὴν, καὶ τὸ γενέσθαι ἁμαρτίαν ὑπὲρ ἡμῶν τὸν μὴ γνόντα ἁμαρτίαν, οὐ τὴν τῆς δικαιοσύνης σημαίνει τροπὴν (ἄτρεπτον γὰρ τὸ θεῖον, καὶ ἀναλλοίωτον, ὡς διὰ τοῦ προφήτου βοᾷ· ἐγώ εἰμι, καὶ οὐκ ἀλλοίωμαι) ἀλλὰ τὴν τῶν ἡμετέρων ἁμαρτημάτων ἀνάληψιν, ἴδε γάρ φησιν ὁ ἀμνὸς τοῦ θεοῦ, ἴδε ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, οὕτω τὸ ὁ λόγος σὰρξ ἐγένετο, οὐ τὴν ἀλλοίωσιν λέγει τῆς θεότητος, ἀλλὰ τῆς ἀνθρωπίνης φύσεως τὴν ἀνάληψιν· τὴν ἄφατον γὰρ τοῦ θεοῦ φιλανθρωπίαν ὁ εὐαγγελιστὴς κηρύττων, ὡς ἐδίδαξεν, ὡς ὁ ἐν ἀρχῇ ὢν, καὶ θεὸς ὢν, καὶ πρὸς τὸν θεὸν ὢν, καὶ οὐδέποτε μὴ ὢν, ὁ δημιουργήσας πάντα, ὁ τὰ μὴ ὄντα εἰς τὸ εἶναι ποιήσας, ἡ ζωὴ, τὸ φῶς τὸ ἀληθινὸν, τὴν φθαρτὴν ἀνέλαβε φύσιν, καὶ τὰ τῶν ἀνθρώπων ᾠκειώσατο πάθη, τὴν τῶν ἀν-

θρώπων πραγματευόμενος σωτηρίαν· καὶ μειζόνως αὐτοῦ δεῖξαι τῆς εὐεργεσίας τὸ μέγεθος ἐθελήσας, οὐ τῆς ψυχῆς ἐμνημόνευσε τῆς ἀθανάτου, ἀλλὰ τῆς σαρκὸς τῆς παθητῆς, τῆς θνητῆς, τῆς φθειρομένης, τῆς ἐκ πηλοῦ γεγενημένης, καὶ ἀπὸ τοῦ μέρους τὴν πᾶσαν φύσιν ἐδήλωσεν, ὡς μαρτυρεῖ τὰ ἐπαγόμενα· ὁ λόγος γάρ, φησιν, σὰρξ ἐγένετο, καὶ ἐσκήνωσεν ἐν ἡμῖν.

Ἕτερος δὲ ὁ κατοικήσας κατὰ τὸν λόγον τῆς φύσεως, καὶ ἕτερος ὁ ναός· διὸ καὶ τοῖς ἰουδαίοις ἔλεγε· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· λύσις δὲ τοῦ ναοῦ, ψυχῆς καὶ σώματος ἡ διάζευξις· θάνατος γὰρ ἐστὶ ψυχῆς ἀπὸ σώματος ἀναχώρησις· οὐκοῦν τὴν λύσιν τοῦ ναοῦ ὁ τῆς ψυχῆς ἐργάζεται χωρισμός· οἱ τοίνυν ἰουδαῖοι τὸν ναὸν ἔλυσαν, σταυρῷ καὶ θανάτῳ παραδεδωκότες· λύσις δὲ ναοῦ τῶν συνημμένων ὁ χωρισμός· ὁ δὲ θεὸς λόγος τοῦτον λυθέντα ἀνέστησε· σαφὲς οἶμαι τοῖς ἔμφροσιν, ὡς οὐκ ἄψυχον οὐδὲ ἄνουν, ἀλλὰ τέλειον ἄνθρωπον ὁ θεὸς ἀνελάβετο λόγος· εἰ γὰρ ἀντὶ τῆς ἀθανάτου ψυχῆς, ἐν τῷ ἀναληφθέντι σώματι γέγονεν ὁ θεὸς λόγος, εἶπεν ἂν τοῖς ἰουδαίοις· λύσατέ με, καὶ ἐν τρισὶν ἡμέραις ἀναστήσομαι· νῦν δὲ διδάσκων, καὶ τοῦ ναοῦ τὸ τηνικαῦτα τὸ θνητὸν, καὶ τὸ δυνατὸν τῆς ἐνοικούσης θεότητος, λύσατε, φησὶ, τὸν ναὸν τοῦτον, καὶ ἐν τρισὶν ἡμέραις ἐγερῶ αὐτόν· οὐ γὰρ ἐγώ φησιν ὑφ᾽ ὑμῶν λυθήσομαι, ἀλλ᾽ ὁ ληφθεὶς ὑπ᾽ ἐμοῦ ναὸς, καὶ οὗτος δὲ λύεται, ἵνα κρείττονος ἀναστάσεως ἀπολαύσῃ· ἵνα τὴν θνητὴν ἀπόθηται φύσιν, ἵνα τὴν φθορὰν ἀποδύσηται καὶ τὴν ἀφθαρσίαν ἐνδύσηται, ἵνα τοῦ θανάτου καταλύσῃ τὸ κράτος· ἵνα τῶν κεκοιμημένον ἀπαρχὴ γένηται, ἵνα λύσας τῆς φθορᾶς τὰς ὠδίνας ἀναδειχθῇ τῶν νεκρῶν πρωτότοκος, καὶ διὰ τῆς οἰκείας ἀναστάσεως, εὐαγγελίσηται τὴν πάντων ἀνθρώπων ἀνάστασιν.

ΚΕΦΑΛΑΙΟΝ ΙΘ.

Ἀπόδειξις ὅτι ψυχὴν νοερὰν ὁ θεὸς λόγος ἔλαβεν.

Ὅτι δὲ ταῦτα οὕτως ἔχει, μαρτυρεῖ τῶν ἀποστόλων ὁ κορυφαῖος ἐν ταῖς πράξεσι λέγων· ὅτι οὐκ ἐγκατελείφθη ἡ ψυχὴ αὐτοῦ εἰς ᾅδου, οὐδὲ ἡ σὰρξ αὐτοῦ οἶδε διαφθοράν· λύσις τοιγαροῦν τοῦ ναοῦ, ψυχῆς καὶ σώματος χωρισμός· καὶ πάλιν ἀνάστασις, πρὸς τὴν σάρκα τὴν οἰκείαν ἐπάνοδος· εἰ τοίνυν, ὥς φασιν οἱ τῆς αἱρέσεως προστάται, ψυχὰς δύο τῶν ἀνθρώπων ἕκαστος ἔχει, τήν τε ζωτικὴν, καὶ τὴν λογικὴν, καὶ σὰρξ ἄνευ ψυχῆς, οὐκ ἄν ποτε νοηθείη τῆς ζωτικῆς· σῶμα γὰρ, ἀλλ' οὐ σὰρξ, φησὶ, τὸ τοιοῦτον προσαγορεύεται· Πέτρος δὲ ἔφη οὐ τὸ σῶμα τοῦ κυρίου, ἀλλὰ τὴν σάρκα τοῦ κυρίου μὴ ἰδεῖν διαφθορὰν, καὶ τὴν ψυχὴν αὐτοῦ μὴ ἐγκαταλειφθῆναι εἰς ᾅδου, εὔδηλον ὡς τὴν μὲν ζωτικὴν, ἣν οὐκ εἶδ' ὅπως λέγουσιν, εἶχεν ἡ διαφθαρεῖσα σὰρξ, ἧς ἄνευ οὐκ ἂν προσαγορευθείη, ὥς φασὶ, σάρξ· ἡ δὲ ἀθάνατος καὶ λογικὴ καὶ τοῦ ζῴου τὴν ἡγεμονίαν πεπιστευμένη, οὐ κατελείφθη εἰς ᾅδου, ἀλλὰ πρὸς τὴν οἰκείαν ἐπανῆκε σάρκα· καὶ μάτην ἀδολεσχοῦσιν, ἄψυχον ἢ ἄνουν τοῦ θεοῦ λόγου τὸν ναὸν προσαγορεύοντες· ἡμεῖς δὲ Πέτρῳ ἑψόμεθα, καὶ σάρκα κηρύττοντι μὴ δεξαμένην διαφθορὰν, καὶ ψυχὴν μὴ καταλειφθεῖσαν εἰς ᾅδου, ἀλλ' ἐπανελθοῦσαν, καὶ τῷ οἰκείῳ σώματι συναφθεῖσαν· πιστεύομεν δὲ καὶ αὐτῷ τῷ κυρίῳ λέγοντι· περίλυπος ἐστὶν ἡ ψυχή μου ἕως θανάτου· τῆς γὰρ λύπης τὴν αἴσθησιν τὸ ἐν ἡμῖν λογικὸν ὑποδέχεται· εἰ δὲ ἀντὶ νοῦ ὁ θεὸς λόγος ὑπάρχων, τὰ τοῦ νοῦ κατεδέχετο πάθος, αὐτὸς ἦν ὁ λυπηθεὶς, καὶ φοβηθεὶς, καὶ ἀγνοήσας, καὶ ἀγωνιάσας, καὶ ἀγγελικῇ συμμαχίᾳ ῥωσθείς· εἰ δὲ καὶ ταῦτα φήσουσιν οἱ τῆς Ἀπολιναρίου ματαιολογίας κληρονόμοι, μετὰ Ἀρείου καὶ Εὐνομίου τῶν χριστομάχων ταχθήτω-

σαν· ὧν γὰρ ἴση ἡ βλασφημία, τούτων μίαν εἶναι τὴν ἑταιρίαν δίκαιον· ἡμεῖς δὲ ἀκούσωμεν τοῦ κυρίου λέγοντος· ἐξουσίαν ἔχω θεῖναι τὴν ψυχήν μου, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν αὐτήν· οὐδεὶς αἴρει αὐτὴν ἀπ' ἐμοῦ· ἐκ γὰρ τῶν λόγων τούτων μαθησόμεθα ὡς ἕτερος μὲν ὁ τιθεὶς, ἕτερον δὲ τὸ τιθέμενον· καὶ θεὸς μὲν ὁ τιθεὶς καὶ λαμβάνων, ψυχὴ δὲ ἡ τιθεμένη καὶ λαμβανομένη· καὶ θεὸς μὲν τὴν ἐξουσίαν ἔχων, ψυχὴ δὲ ἡ ὑπὸ τὴν ἐξουσίαν ἐκείνην τεταγμένη.

ΚΕΦΑΛΑΙΟΝ Κ.

Ὅτι οἱ προφῆται τελείως τὴν φύσιν ἀναληφθῆναι θεσπίζουσι.

Τούτοις συνῳδὰ καὶ Ἡσαΐας ὁ προφήτης θεσπίζει βοῶν· ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον κατὰ τὴν τῶν εὐαγγελίων διδασκαλίαν, μεθ' ἡμῶν ὁ θεός· τὸ δὲ μεθ' ἡμῶν ὁ θεὸς, μετὰ ἀνθρώπων ἑρμηνεύει θεόν· εἰ τοίνυν τὸ κύημα τῆς παρθένου ταύτην ἔλαβε τὴν προσηγορίαν, εὔδηλον ὡς ὁ θεὸς ὁμοῦ καὶ ἄνθρωπος ἦν· τὸ μὲν ὑπάρχων, τὸ δὲ λαβὼν, καθ' ἑκάτερον τέλειος· διὰ μὲν γαρ τοῦ μεθ' ἡμῶν, τοῦ ἀνθρώπου τὸ τέλειον δείκνυται· τελείως γὰρ ἡμῶν ἕκαστος ἔχει τοῦ ἀνθρώπου τὴν φύσιν· διὰ δὲ τοῦ, θεὸς, καὶ τῆς προσθήκης τοῦ ἄρθρου, ἡ τοῦ υἱοῦ θεότης γνωρίζεται· καὶ τούτου διδάσκαλος ὁ μακάριος Παῦλος λέγων, ἐν ᾧ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος σωματικῶς· καὶ ὁ θεόληπτος δὲ Λουκᾶς ὁ εὐαγγελιστὴς ἐναργῶς ἡμῖν δείκνυσι τὸν νοῦν τὸν ἀνθρώπινον τοῦ σωτῆρος Χριστοῦ· τὸ παιδίον γάρ φησιν ηὔξανε, καὶ ἐκραταιοῦτο πνεύματι, πληρούμενον σοφίας, καὶ χάρις θεοῦ ἦν ἐπ' αὐτῷ· καὶ μετ' ὀλίγα· Ἰησοῦς δὲ προέκοπτεν ἡλικίᾳ, καὶ σοφίᾳ, καὶ χάριτι παρὰ θεῷ, καὶ ἀνθρώποις· τὸ δὲ σοφίᾳ προκόπτειν, οὐ θεοῦ τοῦ σοφοῦ, τοῦ ἀπροσ-

δεοῦς, καὶ ἀεὶ τελείου, καὶ μήτε ἐπίδοσιν, μήτε ἐλάττωσιν δεχομένου, ἀλλὰ τοῦ νοῦ τοῦ ἀνθρωπίνου, τοῦ ταῖς ἡλικίαις συμπροϊόντος, καὶ διδασκαλίας δεομένου, καὶ τέχνης, καὶ ἐπιστήμης δεκτικοῦ, καὶ κατὰ βραχὺ τά τε ἀνθρώπινα, καὶ τὰ θεῖα γνωρίζοντος.

ΚΕΦΑΛΑΙΟΝ ΚΑ.

Ἀπόδειξις ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τῆς τῶν φύσεων διακρίσεως, κα' τῆς τοῦ προσώπου ἑνώσεως.

Σαφέστερον δ' ἄν τις ἐκ τῆς πρὸς Ἑβραίους ἐπιστολῆς τὴν θείαν φύσιν, καὶ τὴν ἀνθρωπείαν καλίδοι, ταῖς ἐνεργείαις μὲν διῃρημένας, τῷ προσώπῳ δὲ συνημμένας, καὶ τὸν ἕνα ὑποδεικνύσας υἱόν· οὐχ' ἥκιστα δὲ καὶ τῆς ἐπιστολῆς τὸ προοίμιον, ταύτην ἔχει τὴν διδασκαλίαν· εἶπε γὰρ ὁ θεσπέσιος Παῦλος· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ. Καὶ δείξας αὐτὸν ὑπέρχρονον καὶ προαιώνιον (δι' αὐτοῦ γάρ, φησιν, καὶ τοὺς αἰῶνας ἐποίησεν) ἐπήγαγεν ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς, τοσούτῳ κρείττων γενόμενος τῶν ἀγγέλων, ὅσῳ διαφορώτερον παρ' αὐτοῖς κεκληρονόμηκεν ὄνομα· ἐναντίον δὲ τοῦ γενέσθαι, τὸ εἶναι· ὁ γὰρ ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως, οὐ γίνεται κρείττων ἀγγέλων, ἀλλ' ἔστιν ἀγγέλων οὐ κρείττων μόνον, ἀλλὰ καὶ ποιητής, καὶ δεσπότης· εἰ δὲ ἐναντίον τοῦ εἶναι τὸ γενέσθαι, δι' ἐκείνου μὲν τὸν ἀεὶ ὄντα νοήσομεν, διὰ τούτου δὲ τὸ ἐξ ἡμῶν ἀναληφθὲν, καὶ κρεῖττον τῶν ἀγγέλων γεγενημένον, διὰ τὴν πρὸς τὸν ἀνειληφότα ἕνωσιν· πάλιν μετ' ὀλίγα, πρὸς μὲν τὸν υἱὸν φησίν· ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀνομίαν· διὰ τοῦτο ἔχρισέ σε ὁ

θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· ὁ δὲ θεὸς καὶ μετὰ τοῦ ἄρθρου προσαγορευθεὶς θεὸς, καὶ τὸν θρόνον ἔχων εἰς τὸν αἰῶνα τοῦ αἰῶνος, πῶς ἂν ὑπὸ τοῦ θεοῦ χρισθείη; πῶς ἂν χειροτονητὴν λάβοι βασιλείαν, φυσικὴν ἔχων βασιλείαν; ὁ θρόνος σου γάρ, φησιν, ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· οὐκοῦν ἐναντίον τὸ εἶναι βασιλέα τοῦ εἰς βασιλέα χρισθῆναι· διὰ τὸ ἀγαπῆσαι δικαιοσύνην, καὶ μισῆσαι ἀνομίαν· πόνων γὰρ ἆθλον ἡ τοιαύτη βασιλεία· οὐκοῦν πάλιν τὸν μὲν θεὸν, οὗ ὁ θρόνος εἰς αἰῶνα αἰῶνος, τὸν ἀεὶ ὄντα νοήσομεν· τὸν δὲ ὕστερόν ποτε χρισθέντα διὰ τὸ περὶ τὴν ἁμαρτίαν μῖσος, καὶ τὴν ἀγαπηθεῖσαν ὑπ᾽ αὐτοῦ δικαιοσύνην· τὸ ἐξ ἡμῶν ληφθὲν, τὸ ἐκ Δαβὶδ, τὸ ἐξ Ἀβραάμ, τὸ μετόχους ἔχον, οἷς πλεονεκτεῖ τῷ χρίσματι, ἐν ἑαυτῷ δεξάμενον πάντα τὰ χαρίσματα τοῦ παναγίου πνεύματος· ἐν ἑκατέρᾳ δὲ φύσει τὸν ἕνα υἱὸν προσκυνήσωμεν.

Καὶ αὖθις δὲ ὁ μακάριος Παῦλος τὸν Δαβὶδ καλέσας εἰς μαρτυρίαν λέγοντα· κύριε τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ᾽ ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτὸν ἐπήγαγε, τὸν δὲ βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν, διὰ τὸ πάθημα τοῦ θανάτου, δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου· τοῦτο δὲ μάλιστα σαφῶς δείκνυσι τοῦ ἀναληφθέντος ἀνθρώπου τὸ τέλειον· καὶ γάρ φησι· τί ἐστὶν ἄνθρωπος, ὅτι μιμνήσκῃ αὐτοῦ; ἀλλὰ τί ἐστὶν ἄνθρωπος, καὶ πᾶσαν ὁμοῦ τὴν φύσιν περιλαβών· καὶ κύριον μὲν προσαγορεύσας τὸν ἐνοικήσαντα θεὸν λόγον, τὸν τῆς οἰκείας εἰκόνος μνησθέντα, τὸν ἀρρήτῳ φιλανθρωπίᾳ χρησάμενον, ἄνθρωπον δὲ τὸν ἐξ ἡμῶν ἀναληφθέντα ναὸν, ὃν τῇ παρουσίᾳ ὑπεσκέψατο, καὶ ἑαυτῷ συνῆψε, καὶ τῇ ἑνώσει τὴν σωτηρίαν εἰργάσατο· καὶ τοῦτο ἑρμηνεύων ἔφη· τὸν δὲ βραχύ τι παρ᾽ ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου· ἀπέθανε δὲ οὐχ᾽ ὁ ἀθάνατος θεὸς λόγος, ἀλλ᾽ ἡ θνητὴ φύσις· διὸ καὶ ἠλαττοῦτο βραχύ τι παρ᾽ ἀγγέλους, τῷ τοὺς μὲν ἀθανά-

τους εἶναι, τὴν δὲ θνητήν· ὁ δὲ θεὸς λόγος οὐκ ἐλάττων ἀγγέλων, ἀλλὰ δεσπότης ἀγγέλων· ἐν αὐτῷ γὰρ ἐκτίσθη τὰ πάντα εἴτε ὁρατὰ, εἴτε θρόνοι, εἴτε κυριότητες, εἴτε ἀρχαὶ, εἴτε ἄγγελοι, εἴτε δυνάμεις· πάντα δὲ δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισται. Καὶ μετὰ πολλὰ πάλιν· ὃς ἐν ταῖς ἡμέραις, φησὶ, τῆς σαρκὸς αὐτοῦ δεήσεις καὶ ἱκετηρίας πρὸς τὸν δυνάμενον αὐτὸν ἐκ θανάτου ῥύσασθαι μετὰ κραυγῆς ἰσχυρᾶς, καὶ δακρύων προσενεγκὼν, καὶ εἰσακουσθεὶς ἀπὸ τῆς εὐλαβείας, καίπερ ὢν υἱὸς ἔμαθεν ἐξ ὧν ἔπαθε τὴν ὑπακοὴν, καὶ τελειωθεὶς γέγονεν ἅπασι τοῖς ὑπακούουσιν αὐτῷ αἴτιος σωτηρίας αἰωνίου.

Τίς τοίνυν ὁ προσευχόμενος καὶ δεήσεις, καὶ ἱκετηρίας μετὰ κραυγῆς ἰσχυρᾶς, καὶ δακρύων προσενεγκών; τίς ὁ ἐν εὐλαβείᾳ συζήσας, καὶ διὰ τοῦτο ὃν ἱκέτευσε πείσας; τίς ὁ μαθὼν ἀφ' ὧν ἔπαθε τὴν ὑπακοὴν, καὶ τὴν πεῖραν λαβὼν διδάσκαλον, καὶ ταύτην ἀγνοῶν πρὸ τῆς πείρας; τίς ὁ λαβὼν κατὰ μέρος τὴν τελειότητα; οὐχ' ὁ θεὸς λόγος, ὁ τέλειος, ὁ εἰδὼς πάντα πρὶν γενέσεως αὐτῶν, ἀλλ' οὐ τῇ πείρᾳ μανθάνων; ὁ πάντας ἔχων εὐλαβουμένους, ἀλλ' οὐκ αὐτὸς εὐλαβούμενος· ὁ ἀφελόμενος πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου, ἀλλ' οὐ δακρύειν ὑπ' ὀδύνης ἀναγκαζόμενος· ὁ ἀπαθὴς καὶ ἀθάνατος, ἀλλ' οὐ δεδιὼς τὸν θάνατον, καὶ μετὰ κραυγῆς ἱκετεύων ἀπαλλαγῆναι θανάτου· οὐκοῦν ἴδια ταῦτα τῆς ἀναληφθείσης ἀνθρωπότητος, ἢ καὶ τὸν θάνατον ἐδεδίει, καὶ διετέλει προσευχομένη, τῆς ἐνοικούσης θεότητος τῷ φόβῳ παραχωρούσης, ἵνα διὰ τῶν παθημάτων δειχθῇ τοῦ ληφθέντος ἡ φύσις. Καὶ πάλιν· οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· ὅθεν ὤφειλε κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι· εἰς τὸ ἱλάσκεσθαι ταῖς ἁμαρτίαις τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθεὶς, δύναται τοῖς πειραζομένοις βοηθῆσαι. Καὶ μετ' ὀλίγα· οὐ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν, πεπειραμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας· ἕτερον τοίνυν τὸ τοῦ Ἀβραὰμ σπέρμα παρὰ τὸν ἐπιλαμβανόμενον τούτου· σπέρμα δὲ Ἀβραὰμ οὐ-

δεν ὁ μακάριος Παῦλος τὸν σωτῆρα Χριστὸν κατὰ σάρκα· οὐ γὰρ εἶπε, φησὶ, καὶ τοῖς σπέρμασί σου ὡς ἐπὶ πολλῶν, ἀλλ' ὡς ἐφ' ἑνὸς, καὶ τῷ σπέρματι σου ὅς ἐστὶ Χριστός· καὶ τὸ πειραθῆναι δὲ καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας, οὐ τοῦ θεοῦ λόγου ἴδιον, ἀλλὰ τοῦ ἀναληφθέντος σπέρματος.

ΚΕΦΑΛΑΙΟΝ ΚΒ.

Ὅτι Ἰησοῦς, καὶ θεὸς λόγος, καὶ ἄνθρωπος λέγεται.

Οὕτως ὁ θειότατος Παῦλος διὰ πάσης τῆς ἐπιστολῆς, τάς τε τῶν φύσεων ἰδιότητας, καὶ τοῦ προσώπου κηρύττει τὴν ἕνωσιν· διὸ Ἰησοῦν Χριστὸν καὶ ἄνθρωπον καὶ θεὸν προσαγορεύει· εἷς μεσίτης, φησὶ, θεοῦ καὶ ἄνθρωπος Χριστὸς Ἰησοῦς· καὶ ἐν αὐτῇ δὲ τῇ πρὸς Ἑβραίους· Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας· καὶ ἄλλας δ' ἄν τις ἐθελήσας εὕροι μυρίας μαρτυρίας ἐκ τῆς θείας γραφῆς τὸν τέλειον ἄνθρωπον κηρυττούσας, καὶ τῶν αἱρετικῶν ἐλεγχούσας τὴν ἄνοιαν· ἀλλ' ἡμῖν οὐ σχολὴ ταῦτα συλλέγειν ἐπὶ τοῦ παρόντος· τοῖς φιλοπόνοις τοίνυν τὸν πόνον τοῦτον καταλιπόντες, ἡμεῖς τῆς προκειμένης πραγματείας ἐχώμεθα.

ΚΕΦΑΛΑΙΟΝ ΚΓ.

Περὶ τῆς ἀῤῥήτου τῆς παρθένου γεννήσεως.

Τοιγαροῦν τὴν οἰκείαν εἰκόνα πολεμουμένην οἰκτείρας ὁ ποιητὴς, καὶ θανάτῳ παραπεμπομένην, ἔκλινεν οὐρανοὺς, καὶ κατέβη, οὐ τὸν τρόπον ἀμείψας, οὐδ' ἑτέρωσε μεταβάς· πληροῖ γὰρ τὰ σύμπαντα· μᾶλλον δὲ ἄπειρός ἐστι, καὶ ἀχώρητος, καὶ πάντα ἔχων κατὰ τὸν προφήτην ἐν τῇ χειρί· τίς γάρ φησιν ἐμέτρησε τῇ χειρὶ αὐτοῦ τε ὕδωρ καὶ τὸν οὐρανὸν σπιθαμὴν, καὶ πᾶ-

σαν τὴν γῆν δρακί; καὶ πάλιν ὁ Δαβὶδ· ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ αὐτὸς δὲ ὁ Θεὸς διὰ τοῦ προφήτου· ὁ οὐρανός μου θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου· οὐκοῦν τὴν κατάβασιν νοήσωμεν συγκατάβασιν· ἔκλινε τοίνυν οὐρανοὺς, καὶ κατέβη, καὶ παρθενικὴν ἐκλεξάμενος νηδὺν κόρης ἁγίας καὶ εὐσεβείᾳ συντεθραμμένης, δι' ἀγγελικῆς φωνῆς τὸν τόκον προμηνυσάσης, καὶ τῆς συλλήψεως τὸν τρόπον προερμηνευσάσης, καὶ τῆς παρθενίας τὸν φόβον τῇ ἑρμηνείᾳ λυσάσης, εἰσοικίζεται τε, καὶ ναὸν ἑαυτῷ κατασκευάζει, καὶ τὴν ἄσπαρτον, καὶ ἀνήροτον σκηνὴν διαπλάττει· ἐπειδὴ ὁ πρώτως δουλεύσας τῇ ἁμαρτίᾳ, ἀπάτωρ ἐτύγχανε, μητέρα δὲ μόνην εἶχε τὴν γῆν· ἔλαβε γάρ, φησιν, ὁ θεὸς χοῦν ἀπὸ τῆς γῆς, καὶ ἔπλασεν τὸν ἄνθρωπον· διὸ καὶ ὁ μακάριος Παῦλος φησίν· ὁ πρῶτος ἄνθρωπος ἐκ γῆς χοϊκὸς, ὁ δεύτερος ἄνθρωπος ὁ κύριος ἐξ οὐρανοῦ· τούτου χάριν ὁ μονογενὴς τοῦ θεοῦ λόγος ἐκ μόνης παρθένου τὰς ἀφορμὰς λαβὼν τῆς διαπλάσεως, καὶ τούτῳ τῷ τρόπῳ τὸν ἀγεώργητον δημιουργήσας ναὸν, καὶ ἑαυτῷ συνάψας, πρόεισιν ἐκ τῆς παρθένου, οὐ λύσας τῇ συλλήψει τὴν παρθενικὴν ζώνην, οὐ τῇ γεννήσει διαῤῥήξας, ἀλλ' ἀκήρατον καὶ ἀνέπαφον διαφυλάξας, καὶ τὸ μέγα τοῦτο καὶ ἄῤῥητον θαῦμα θαυματουργήσας· μέγα γὰρ τῷ ὄντι καὶ ἀνερμήνευτον, καὶ λόγου δύναμιν ὑπερβαῖνον, βότρυν ἰδεῖν ἐκ γῆς ἄνευ κλημάτων βλαστήσαντα, σίτον ἄνευ σπερμάτων φῦντα, χιτῶνα χωρὶς νημάτων καὶ χειρῶν ὑφαντικῶν ὑφασμένον, ἄρτον οὐ μύλῃ καὶ χερσὶ καὶ πυρὶ δημιουργηθέντα, ἀλλ' ἀῤῥήτως ἐκ παρθενικῶν ἀλεύρων γεγενημένον, καὶ τὴν οἰκουμένην καλύψαντα· πρὸς δὲ τούτοις, παρθένον οἰκείῳ βρέφει θηλὴν ὀρέγουσαν, καὶ γάλακτος χορηγοῦσαν πηγὰς, καὶ μητέρα γενομένην τὴν γάμου νόμον οὐ δεξαμένην, μητέρα γενομένην τὴν πῶς γίνεται μήτηρ οὐκ ἐπισταμένην, μητέρα γενομένην τὴν γυναῖκα πρότερον οὐ γενομένην, ἀλλ' ἐν παρθενίᾳ καὶ τὸν ὄγκον τῆς γαστρὸς ἐπιδεικνῦσαν, καὶ τὸν καρπὸν ἐν ταῖς χερσὶ περιφέρουσαν, καὶ τὰ μητρὸς ἐργαζομένην, σωζομένης τῆς παρθενίας, καὶ παρθένον μητέρα κα-

λουμένην, καὶ τἀναντία ὀνόματα τὲ καὶ πράγματα κατὰ ταυτὸν συνάγουσαν.

ΚΕΦΑΛΑΙΟΝ ΚΔ.

Ἐν κεφαλαίῳ διήγησις τῆς μετὰ τὴν γέννησιν τοῦ Χριστοῦ πολιτείας.

Οὕτως τεχθεὶς ὁ δεσπότης Χριστὸς (οὐ γὰρ εὐαγὲς μετὰ τὸν τόκον ἢ θεὸν λόγον μόνον αὐτὸν προσαγορεύειν, ἢ ἄνθρωπον γεγυμνωμένον θεότητος, ἀλλὰ Χριστὸν, ὃ ἑκατέραν φύσιν τήν τε λαβοῦσαν καὶ τὴν ληφθεῖσαν δηλοῖ, πάντως τὰ ἡμέτερα πλὴν τῆς ἁμαρτίας καταδέχεται πάθη) σπαργανοῦται παραπλησίως τοῖς βρέφεσι, καὶ γάλακτι τρέφεται, καὶ τιθηνεῖται, καὶ χερσὶ περιφέρεται, καὶ κόλποις ἐντίθεται, καὶ κατὰ νόμον περιτέμνεται, καὶ καθαρσίοις θυσίαις καθαίρεται· ἡ καινὴ καὶ μόνη τῆς οἰκουμένης θυσία, ὁ τοῦ κόσμου τὴν ἁμαρτίαν ἄρας ἀμνὸς, ὑπὸ τοῦ Συμεὼν προσκυνεῖται, καὶ σωτὴρ ὁμοῦ καὶ δεσπότης προσαγορεύεται· φεύγει τὸν Ἡρώδην μετὰ τῆς μητρὸς καὶ τοῦ κηδεμόνος, καταλαμβάνει τὴν Αἴγυπτον, ἐπανέρχεται πάλιν, ἀγωνιᾷ, εἰς τὴν Ναζαρὲτ παραγίνεται, ἡλικίᾳ καὶ σοφίᾳ προκόπτει, τοῖς γονεῦσιν ὑποτάσσεται, πάσης τιμῆς ἀξιοῖ οὐ μόνον τὴν μητέρα, ἀλλὰ καὶ τὸν τῆς μητρὸς πάλαι μὲν μνηστῆρα, μετὰ ταῦτα δὲ κηδεμόνα καὶ φύλακα, τὰς ἐννόμους ἑορτὰς ἑορτάζει, τῷ ἱερῷ προσεδρεύει, τὴν ἰουδαικὴν ἐλέγχει παχύτητα· καὶ τοῦτο ποιεῖ δύο καὶ δέκα γεγονὼς μόνον ἔτη τέως μετὰ τὸν τόκον· ἐπιζητεῖται παρὰ τῶν προσηκόντων, ἀπολειφθεὶς ἐγκαλεῖται παρὰ τῆς μητρὸς, ἀπολογεῖται, καὶ ἠρέμα πῶς παραγυμνοῖ τὴν θεότητα, οὐκ οἴδατε γάρ φησιν ὅτι ἐν τοῖς οἰκείοις τοῦ πατρός μου δεῖ εἶναι με; δεικνὺς ὡς οὐ μόνον ἐστὶ τὸ ὁρώμενον, ἀλλὰ καὶ θεὸς ἐν τῷ ὁρωμένῳ κρυπτόμενος, ὑπέρχρονος, καὶ προαιώνιος ἐκ τοῦ πατρὸς προελθών· καὶ ἵνα συντόμως εἴπω,

παραγίνεται πρὸς Ἰωάννην βαπτίζοντα, πείθει βαπτίσαι παραιτούμενον, προτυποῖ τὸ ἡμέτερον ἐν τῷ Ἰορδάνει βάπτισμα, δίδωσι τέλος τῷ νόμῳ, καὶ τὴν θύραν ὑπανοίγει τῆς χάριτος· ὑπὸ τοῦ πατρὸς οὐρανόθεν ἀνακηρύττεται, τῇ παρουσίᾳ τοῦ πατρὸς δείκνυται εἰς τὴν ἔρημον, ὡς εἰς ἁρμοδίαν τινὰ παλαίστραν, ὑπὸ τοῦ πνεύματος, καὶ νηστεύει μὲν, οὐ πέρα δὲ τῶν μέτρων τῆς φύσεως, καὶ τροφῆς μὲν ἐφίεται, ἀλλὰ κρατεῖ τῆς ὀρέξεως, οὐ δουλεύει ταῖς ἡδοναῖς· καὶ καλεῖ μὲν τῇ πείνῃ τὸν ἀντίπαλον εἰς τὴν πάλην, περιγίνεται δὲ αὐτοῦ ἀνθρωπίνῃ φιλοσοφίᾳ, ἀλλ᾽ οὐκ ἐξουσίᾳ θεότητος, ἀγωνίζεται, καταγωνίζεται, νικᾷ, ἐξελαύνει, τὴν τυραννίδα καταλύει, τὸ ἀσθενὲς ἐλέγχει, τὴν ἧτταν κηρύττει· θαρσεῖτε γάρ, φησιν, ἐγὼ νενίκηκα τὸν κόσμον· προτρέπει πάντας εἰς ἀρετὴν, τὴν νομοθεσίαν τῶν θείων δογμάτων ποιεῖ, τὴν διὰ τοῦ προφήτου ἐπηγγελμένην καινὴν διαθήκην δίδωσιν, οὐρανῶν βασιλείαν ὑπισχνεῖται, τοῖς ἀμελοῦσιν ἀπειλεῖ τῆς γεέννης τὴν φλόγα.

ΚΕΦΑΛΑΙΟΝ ΚΕ.

Σύντομος τῶν δεσποτικῶν θαυμάτων διήγησις.

Πιστοῦται τὰ λεγόμενα τῇ μεγάλῃ θαυματουργίᾳ, οἶνον ἀγεώργητον τῷ γάμῳ δωρούμενος, οἶνον χωρὶς κλημάτων ἐξ ὕδατος ἐργαζόμενος, οἶνον ἄσταφυλον τοῖς τοῦ γάμου δαιτυμόσι χαριζόμενος, εἰς οἶνον μεταβαλὼν τῶν ὑδάτων τὴν φύσιν, μὴ μεσιτευούσης ἀμπέλου, καὶ τῆς γῆς τὴν νοτίδα συλώσας, τιμῶν τὸν γάμον οὐ τῇ παρουσίᾳ μόνον ἀλλὰ καὶ τῇ θαυματουργίᾳ· ἐπειδὴ γὰρ ἐκ παρθενικῆς ἐβλάστησε μήτρας, καὶ παρθενίαν ἤσκησέ τε καὶ τοῖς λόγοις ἐξῇρε, καὶ τὴν ἀζυγίαν ἔργοις καὶ λόγοις ἐτίμησεν, ἵνα μή τις ἀκολασίαν εἶναι νομίζῃ τὴν συζυγίαν, καὶ ὡς παρανόμου τοῦ γάμου κατηγοροίη, τιμᾷ τὸν γάμον τῇ παρουσίᾳ, αὔξει τὴν τιμὴν τῇ τοῦ δώρου φιλοτιμίᾳ, λύει τοῦ νυμ-

φίου τὴν ἀπορίαν, ἐκπλήτlει τοὺς συμπότας τῇ τοῦ καινοῦ πράγματος εὐοσμίᾳ, ἑαυτὸν διὰ τοῦ δώρου κηρύτlει· ἀγεώργητος γὰρ ὤν, τὸν ἀγεώργητον οἶνον δέδωκεν· ἐκεῖθεν τοὺς ἀῤῥώστους ἰᾶται, καὶ λόγῳ λύει τὰς νόσους, καὶ νεύματι τῶν παθῶν ἀπαλλάττει τοὺς κάμνοντας, τοὺς δαιμονῶντας τῆς λύτlης ἐλευθεροῖ, δείκνυσι τοὺς μεμηνότας καθεστηκότας, σφίγγει τοὺς παρειμένους, ἀρτίποδας τοὺς χωλοὺς ἀπεργάζεται, δείκνυσι τὸν ἥλιον τοῖς τὸ βλέπειν ἀφηρεμένοις, ἀνοίγει τὰς θύρας τοῦ σώματος, δι' ὧν ἐπὶ τὰ ἔξω διαχεῖται τὸ τῆς ψυχῆς ὀπτικὸν, καὶ νῦν μὲν λόγῳ μόνῳ τοῦτο ποιεῖ, νῦν δὲ πτυέλῳ, καὶ πηλῷ τὸ λεῖπον ἀναπληροῖ, καὶ ποιεῖ τὸν πηλὸν τὸν τῶν ὀμμάτων ἐπίβουλον ὀμμάτων θεραπευτὴν, καὶ τῷ πολεμίῳ φαρμάκῳ κέχρηται, καὶ τὸ δηλητήριον ἀλεξητήριον δείκνυσι· ταῖς ἀκοαῖς καλουμέναις, τὸ δὲ ἀκούειν ἀφῃρημέναις τὴν οἰκείαν ἐνέργειαν ἐπιδίδωσι· ἄρτοις ὀλίγοις ἐν ἐρήμῳ πολλὰς ἐκόρεσε χιλιάδας, τοὺς πέντε ἄρτους, ὥσπερ εἰς ἄρουραν σπέρμα ταῖς χερσὶν ἐμβαλὼν, καὶ τῆς γλώττης τὴν εὐλογίαν οἷον τι νέφος ἐπαγαγὼν, δασὺ καὶ βαθὺ λήϊον, καὶ ἅλω πλήρη τὰς τῶν ἀποστόλων χεῖρας ἀπέφηνεν, ἅλω οὐ πlύου δεομένην καὶ διακρίσεως, οὐ μύλου καὶ μάκτρας καὶ πυρὸς καὶ κλιβάνου, ἀλλ' αὐτοὺς τοὺς ἄρτους βρίουσαν τὲ καὶ πηγάζουσαν· καὶ ἵνα κεφαλαίῳ εἴπω, αἵματος ἔστησεν ὀχετοὺς τὴν ἴασιν ἑκοντὶ συληθεὶς, κόρην ἄωρον ἁρπαγεῖσαν ὑπὸ θανάτου καὶ πενθουμένην ὑπὸ τῶν οἰκείων ἀνθαρπάσας τοῖς φύσασιν ἀποδέδωκεν· ἕτερον νεανίαν εἰς τὸν τάφον προπεμπόμενον, εἰς ζωὴν ἐπανήγαγε, καὶ εἰς χαρὰν τὸ πένθος μετέβαλε, καὶ τὸν ἐπιτάφιον θρῆνον εἰς ὕμνων λόγον γαμηλίων ἔτρεψε, καὶ τὸν δυσώδη νεκρὸν μετὰ τετάρτην ἡμέραν τῆς τελευτῆς ἐκ τῆς θήκης ἐξήγαγε, καὶ τὸν πεπεδημένον βαδίζειν ἐκέλευσεν, καὶ παραχρῆμα ὅτε θάνατος ἐδραπέτευσεν, καὶ ὁ νεκρὸς ἔδραμε τῆς σηπεδόνος ἀπαλλαγεὶς, καὶ τὴν τῆς σηπεδόνος ἀποθέμενος δυσωδίαν, καὶ τὰς τοῦ θανάτου πύλας διαφυγὼν, καὶ ὑπὸ τῶν δεσμῶν τρέχειν οὐ κωλυόμενος, καὶ τῷ μὲν τοῦ προσώπου καλύ-

ματι τὸ βλέπειν ἀφῃρημένος, ἀκωλύτως δὲ τρέχων πρὸς τὸν καλέσαντα, καὶ τὴν δεσποτικὴν ἐπιγινώσκων φωνήν.

ΚΕΦΑΛΑΙΟΝ Κϛ.

Ὅτι ἑκουσίως τὰ σωτήρια πάθη κατεδέξατο.

Διὰ τούτων καὶ τῶν θαυμάτων τῶν ἐπαγγελιῶν ἐμπεδώσας τὸ μέγεθος, καὶ τὸν χορὸν τῶν ἀποστόλων εἰς ἀρετὴν παιδοτριβήσας, προστρέχει τοῖς ἀναγράπτοις πάθεσιν ἐθελοντής· πολλάκις μὲν ταῦτα τοῖς φοιτηταῖς προμηνύσας, ἐπιτιμήσας δὲ τῷ Πέτρῳ μεθ' ἡδονῆς μὴ καταδεξαμένῳ τὰ τῶν παθῶν εὐαγγέλια, καὶ δείξας, ὡς διὰ τούτων κατορθοῦται τῆς οἰκουμένης ἡ σωτηρία· διὸ καὶ τοῖς ἐπελθοῦσιν ἑαυτὸν ὑπέδειξεν λέγων ἐγώ εἰμι ὃν ζητεῖτε· κατηγορούμενος οὐκ ἀντεῖπεν, καὶ δυνάμενος λαθεῖν, τοῦτο ποιεῖν οὐκ ἠνέσχετο· καὶ ταῦτα πολλάκις ἡνίκα ἠβουλήθη διαφυγὼν ἀλλὰ καὶ κλαίει μὲν τὴν Ἱερουσαλὴμ, ὡς δὴ τῆς ἀπιστίας ἐπισπωμένης τὸν ὄλεθρον, καταψηφίζεται δὲ πανωλεθρίως τοῦ πολυθρυλλήτου πάλαι νεὼ· ἀνέχεται καὶ ἐπὶ κόρης παιόμενος, ὑπὸ διπλῆν δουλείαν δουλευόντων (1) κολαφιζόμενος, μαστιγούμενος, καὶ τὸ τελευταῖον σταυρούμενος, καὶ λαμβάνων λῃστὰς τῆς τιμωρίας κοινωνοὺς ἑκατέρωθεν, καὶ ἀνδροφόνοις καὶ κακούργοις συνταττόμενος, καὶ ὄξος καὶ χολὴν παρὰ τοῦ κακοῦ ἀμπελῶνος καρπούμενος, καὶ ἀκάνθαις ἀντὶ κλημάτων καὶ βοτρύων στεφόμενος, καὶ πορφυρίδι χλευαζόμενος, καὶ καλάμῳ παιόμενος, καὶ λόγχῃ τὴν πλευρὰν ὀρυττόμενος, καὶ τέλος τάφῳ παραπεμπόμενος.

(1) Cod. δουλεύοντες.

ΚΕΦΑΛΑΙΟΝ ΚΖ.

Τίς τῶν δεσποτικῶν παθημάτων ἡ αἰτία.

Υπέμεινε δὲ ταῦτα, τὴν ἡμετέραν μηχανώμενος σωτηρίαν· ἐπειδὴ γὰρ οἱ τῇ ἁμαρτίᾳ δουλεύσαντες τοῖς ἐπιτιμίοις ὑπεύθυνοι τῆς ἁμαρτίας ἐτύγχανον, αὐτὸς ἁμαρτίας ἀπηλλαγμένος, καὶ διὰ πάσης ὁδεύσας δικαιοσύνης, τὴν τῶν ἁμαρτωλῶν κατεδέξατο τιμωρίαν, διὰ μὲν τοῦ σταυροῦ, τῆς παλαιᾶς κατάρας τὴν ἀπόφασιν λύων· Χριστὸς γάρ, φησιν, ἐξηγόρασεν ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· γέγραπται γὰρ ἐπικατάρατος πᾶς ὁ κρεμαμένος ἐν ξύλῳ· διὰ δὲ τῶν ἀκανθῶν, τέλος διδοὺς ταῖς Ἀδὰμ τιμωρίαις· μετὰ γὰρ τὴν τιμωρίαν, ἤκουσεν ἐκεῖνος, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου, ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι· διὰ δὲ τῆς χολῆς τὸ πικρὸν καὶ ἐπίπονον τῆς θνητῆς καὶ παθητῆς ζωῆς τῶν ἀνθρώπων εἰς ἑαυτὸν ἀναλαμβάνων· διὰ δὲ τοῦ ὄξους τὴν ἐπὶ τὸ χεῖρον τῶν ἀνθρώπων μεταβολὴν αὐτὸς δεχόμενος, καὶ τὴν εἰς τὸ κρεῖττον ἐπάνοδον χαριζόμενος· τῇ πορφυρίδι σημαίνων τὴν βασιλείαν, τῷ καλάμῳ τὸ ἀσθενὲς καὶ σαθρὸν τῆς τοῦ διαβόλου δυνάμεως αἰνιττόμενος, τῷ ῥαπίσματι τὴν ἡμετέραν κηρύττων ἐλευθερίαν, τὰς ἡμετέρας ὑπομένων ὕβρεις, καὶ παιδείας, καὶ μάστιγας· τὴν πλευρὰν τῷ Ἀδὰμ παραπλησίον νυττόμενος, ἀλλ' οὐ γυναῖκα προιοῦσαν ἐκεῖθεν δεικνύς, τὸν θάνατον διὰ τῆς ἀπάτης γεννήσασαν, ἀλλὰ πηγὴν ζωῆς τῷ διπλῷ νάματι τὴν οἰκουμένην ζωογονοῦσαν· ὧν τὸ μὲν ἡμᾶς ἐν κολυμβήθρᾳ νεοποιεῖ, καὶ τῇ ἀθανάτῳ περιβάλλει στολῇ· τὸ δὲ τρέφει γεννηθέντας ἐν τῇ τραπέζῃ τῇ θείᾳ, καθάπερ τὰ βρέφη τὸ γάλα.

ΚΕΦΑΛΑΙΟΝ ΚΗ.

Ὅτι διὰ τῶν τοῦ Χριστοῦ παθῶν ἡ ἡμετέρα γέγονε σωτηρία.

Φάρμακα τοίνυν ἐστὶν ἡμέτερα τὰ τοῦ σωτῆρος ἡμῶν παθήματα· καὶ τοῦτο διδάσκων ὁ προφήτης βοᾷ· αὐτὸς τὰς ἁμαρτίας ἡμῶν φέρει, καὶ ὑπὲρ ἡμῶν ὀδυνᾶται· ἡμεῖς δὲ ἐλογισάμεθα αὐτὸν εἶναι ἐν πόνῳ, καὶ ἐν πληγῇ, καὶ ἐκ κακώσει· αὐτὸς δὲ ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν· παιδεία εἰρήνης ἡμῶν ἐπ' αὐτῷ· τῷ μόλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν πάντες· ὡς πρόβατα ἐπλανήθημεν, διὸ ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείραντος αὐτὸν, ἄφωνος· καὶ καθάπερ ποιμὴν τὰ πρόβατα διεσκεδασμένα θεωρῶν, ἓν τῶν προβάτων κατέχων, καὶ ἐφ' ἣν βούλεται νομὴν ἄγων ἕλκει τὰ λοιπὰ δι' ἐκείνου πρὸς ἑαυτόν.

Οὕτως ὁ θεὸς λόγος τῶν ἀνθρώπων τὸ γένος πεπλανημένον ἰδὼν, τοῦ δούλου λαβὼν τὴν μορφὴν, καὶ ταύτην συνάψας ἑαυτῷ, πρὸς ἑαυτὸν δι' ἐκείνης ἐπέστρεψε πᾶσαν τὴν τῶν ἀνθρώπων φύσιν, καὶ εἰς τὴν θείαν νομὴν ἤγαγε τὰ κακῶς νεμόμενα, καὶ τοῖς λύκοις προκείμενα· διὰ ταῦτα ὁ σωτὴρ ὁ ἡμέτερος τὴν ἡμετέραν φύσιν ἀνέλαβε· διὰ ταῦτα ὁ δεσπότης Χριστὸς τὰ σωτήρια κατεδέξατο πάθη, καὶ θανάτῳ παραπεμφθεὶς, καὶ ταφῇ παραδοθεὶς, τὸ μὲν παλαιὸν ἐκεῖνο καὶ πολυχρόνιον κράτος ἔλυσε, τοῖς δὲ τῇ φθορᾷ πεπεδημένοις τὴν ἀφθαρσίαν ὑπέσχετο· τὸν γὰρ λυθέντα ναὸν ἀνοικοδομήσας, καὶ ἀνεγείρας, καὶ τοῖς κειμένοις καὶ προσδεχομένοις αὐτοῦ τὴν ἀνάστασιν ἀληθεῖς καὶ βεβαίας τὰς ὑποσχέσεις ὑπέδειξεν· ὃν τρόπον γάρ, φησιν, ἡ ἐξ ὑμῶν ἀναληφθεῖσα φύσις τῇ τῆς θεότητος ἐνοικήσει τε καὶ ἑνώσει τῆς ἀναστάσεως ἔτυχε, καὶ τὸ φθαρτὸν ἀνατιθεμένη σὺν τοῖς παθήμασιν εἰς ἀφθαρσίαν καὶ ἀθανασίαν μετέβη, οὕτω καὶ ὑμεῖς τῆς χαλεπῆς τοῦ θανάτου δου-

λείας ἀπαλλαγήσεσθε, καὶ τὴν φθορὰν ἀποῤῥίψαντες σὺν τοῖς πάθεσιν ἐνδύσασθε τὴν ἀπάθειαν· διὸ καὶ τὸ δῶρον τοῦ βαπτίσματος πᾶσιν ἀνθρώποις διὰ τῶν ἀποστόλων ἐξέπεμψε· πορευθέντες γάρ, φησι, μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ πατρὸς, καὶ τοῦ υἱοῦ, καὶ τοῦ ἁγίου πνεύματος· τὸ βάπτισμα τοῦ δεσποτικοῦ θανάτου σκιαγραφία τίς ὑπάρχει καὶ τύπος· εἰ γὰρ σύμφυτοι, φησὶν ὁ Παῦλος, γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ, ἀλλὰ καὶ τῆς ἀναστάσεως ἐσόμεθα.

ΚΕΦΑΛΑΙΟΝ ΚΘ.

Ἀπόδειξις ἐκ τῶν ἀποστόλου γραφῶν περὶ τῆς τελείας τοῦ ἀνθρώπου φύσεως.

Οὕτω γεννηθεὶς ὁ δεσπότης Χριστὸς, οὕτω τραφεὶς, οὕτω θαυματουργήσας, διὰ ταῦτα παθὼν, σταυρωθεὶς, ἀποθανὼν, κήρυκας ἀποστείλας πᾶσιν ἀνθρώποις τοὺς ἱεροὺς μαθητὰς, εἰς τὸν οὐρανὸν ἀνελήφθη· καὶ ταῦτα ἐν κεφαλαίῳ ἐν τοῖς πρὸς Τιμόθεον γραφεῖσιν, ὁ ἀπόστολος ἡμᾶς ἐδίδαξε λέγων· ὁμολογουμένως μέγα ἐστὶ τὸ τῆς εὐσεβείας μυστήριον, θεὸς ἐφανερώθη ἐν σαρκὶ, ἐδικαιώθη ἐν πνεύματι, ὤφθη ἀγγέλοις, ἐκηρύχθη ἔθνεσιν, ἐπιστώθη ἐν κόσμῳ, ἀνελήφθη ἐν δόξῃ, καὶ τὴν μὲν φανέρωσιν συνέζευξε τῇ σαρκὶ, τὴν δὲ δικαίωσιν κατὰ τὴν τῶν αἱρετικῶν ἀβελτηρίαν· ἐδικαιώθη δὲ τῇ συνεργείᾳ τοῦ πνεύματος. Ἆρα τὸ δικαιῶσαν πνεῦμα κρεῖττον τοῦ δικαιωθέντος υἱοῦ; ἀλλ' οὐκέτι ταῦτα οὐκ ἔστι· τὸ γὰρ ἡμέτερον ἐδικαιώθη διὰ τοῦ ἐν αὐτῷ φανερωθέντος θεοῦ, ὃς ἀχωρίστως αὐτῷ συνημμένος, τήν τε ἄκραν ἐπαίδευσεν ἀρετὴν, καὶ τῶν βελῶν τῆς ἁμαρτίας ἐφύλαξεν ἄγευστον, καὶ ἀμύητον, καὶ τῆς διαβολικῆς ἀπάτης ὑπέρτερον, καὶ θανάτου πρὸ βραχὺ γεύσασθαι συγχωρήσας, παραυτίκα τῆς ἐκείνου τυραννίδος ἀπήλλαξε, καὶ τῆς οἰκείας αὐτῷ

ζωῆς μεταδέδωκε, καὶ εἰς οὐρανοὺς ἀνήγαγε, καὶ ἐκ δεξιῶν τῆς μεγαλωσύνης ἐκάθισεν, καὶ ὄνομα αὐτῷ ἐχαρίσατο τὸ ὑπὲρ πᾶν ὄνομα, τὴν οἰκείαν αὐτῷ ἀξίαν δωρησάμενος, καὶ τὴν τῆς φύσεως αὐτοῦ προσηγορίαν λαβών· υἱὸς ἀνθρώπου ὁ προαιώνιος τοῦ θεοῦ λόγος ηὐδόκησεν ὀνομάζεσθαι· οὐδεὶς γάρ, φησιν, ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐξ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ· κατέβη δὲ οὐκ ὁ ἐκ σπέρματος Δαβὶδ ἐκ τῶν οὐρανῶν, ἀλλ' ὁ τῶν (οὐρανῶν) ποιητὴς, ὁ ὑπέρχρονος θεοῦ λόγος, ὁ πρὸ τῶν αἰώνων ὑπάρχων· διὰ δὲ τὴν πρὸς τὸ ἀνθρώπινον ἕνωσιν λαμβάνει τοῦ υἱοῦ τοῦ ἀνθρώπου τὸ ὄνομα· καὶ ἑτέρωθι δὲ πάλιν οὕτως αὐτὸν προσαγορεύει· ἐὰν ἴδητε τὸν υἱὸν τοῦ ἀνθρώπου ἀνερχόμενον ὅπου ἦν τὸ πρότερον· οὐχ' ἡ τοῦ δούλου μορφὴ, ἀλλ' ἡ τοῦ θεοῦ μορφή· καὶ αὖθις, ὅτι υἱὸς ἀνθρώπου ἐστὶ φησὶ, μὴ θαυμάζετε τοῦτο, ὅτι ἔρχεται ὥρα ἐν ᾗ ἀκούσονται οἱ ἐν τοῖς μνήμασι τῆς φωνῆς αὐτοῦ, καὶ ἐξελεύσονται οἱ τὰ ἀγαθὰ ποιήσαντες, εἰς ἀνάστασιν ζωῆς· οἱ δὲ τὰ φαῦλα πράξαντες, εἰς ἀνάστασιν κρίσεως· οὐ τῆς ἀνθρωπότητος δὲ ψιλῆς τοῦτο τὸ ἴδιον, ἀλλὰ τῆς ἐνεργούσης θεότητος, καὶ τῆς φαινομένης δὴ ἀνθρωπότητος διὰ τὴν πρὸς τὴν θεότητα συνάφειαν τε καὶ ἕνωσιν.

ΚΕΦΑΛΑΙΟΝ Λ.

Ὅτι υἱὸς ἡ τοῦ δούλου μορφὴ διὰ τὴν συνάφειαν ὡσαύτως προσαγορεύεται.

Οὕτως ὁ θεὸς λόγος οἰκειοῦται τῆς τοῦ δούλου μορφῆς τὴν εὐτέλειαν, καὶ θεὸς ὑπάρχων, ἄνθρωπος ἠθέλησεν ὀνομάζεσθαι, καὶ ὥσπερ μετέλαβε τῶν τοῦ ἀνθρώπου ταπεινῶν, οὕτω τῶν ὑψηλῶν αὐτῷ μεταδέδωκε· καλεῖται γὰρ τὸ τῆς παρθένου βρέφος Ἐμμανουὴλ, καὶ τὸ τοῖς σπαργάνοις ἐνειλημμένον, καὶ θηλὴν ἕλκον, καὶ τρεφόμενον γάλακτι, καὶ καλεῖται μεγάλης βουλῆς ἄγγελος, καὶ θαυμαστὸς σύμβολος, καὶ θεὸς ἰσχυρὸς, καὶ

ἐξουσιαστὴς, καὶ ἄρχων εἰρήνης, καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος, καὶ υἱὸς ὑψίστου, καὶ σωτὴρ, καὶ κύριος, καὶ τῶν ὅλων δημιουργός· εἷς γάρ, φησι, κύριος Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· καὶ μὴν τὸ Ἰησοῦς καὶ Χριστὸς ὀνόματα τῆς οἰκονομίας εἰσὶ σημαντικά· ἡ δὲ οἰκονομία, οὐ πρὸ τῆς κτίσεως, οὐδὲ εὐθὺς μετὰ τὴν κτίσιν, ἀλλ' ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐγένετο· ἐπειδὴ τοίνυν τὸ Χριστὸς ὄνομα, οὐ τὸν ληφθέντα μόνον, ἀλλὰ καὶ τὸν λαβόντα λόγον μετὰ τοῦ ληφθέντος δηλοῖ (τοῦ θεοῦ γὰρ καὶ τοῦ ἀνθρώπου τοῦτο σημαντικόν ἐστιν) ὁ Παῦλος ἀνατίθησι καὶ τῷ ὁρωμένῳ διὰ τὴν πρὸς τὸ κρυπτόμενον ἕνωσιν, τὴν τοῦ παντὸς ποίησιν τὲ καὶ διακόσμησιν· διὸ καὶ ἑτέρωθι τὸν Χριστὸν ἐπὶ πάντων προσαγορεύει θεόν· ἐξ ὧν γάρ, φησιν, Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεός· οὐκ ἐπειδὴ τοῦ Δαβὶδ ὁ απόγονος αὐτὸς καθ' αὑτὸν θεός ἐστι, καὶ ἐπὶ πάντων θεὸς, ἀλλ' ὅτι τοῦ θεοῦ τοῦ ἐπὶ πάντων ὑπῆρχε ναὸς, ἡνωμένην καὶ συνημμένην ἔχων ἑαυτῷ (1) τὴν θεότητα.

ΚΕΦΑΛΑΙΟΝ ΛΑ.

Ὅτι δύο μὲν εἰσὶ φύσεις, ἓν δὲ τὸ πρόσωπον τοῦ Χριστοῦ.

Διὰ τοῦτο Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς, καὶ εἰς τοὺς αἰῶνας· οὐ γὰρ εἰς πρόσωπα δύο τὴν οἰκονομίαν μερίζομεν, οὐδὲ υἱοὺς δύο ἀντὶ τοῦ μονογενοῦς κηρύττομεν τὲ καὶ δογματίζομεν, ἀλλὰ δύο μὲν τὰς φύσεις εἶναι καὶ μεμαθήκαμεν καὶ διδάσκομεν· ἕτερον γὰρ θεότης, καὶ ἕτερον ἀνθρωπότης· ἕτερον τὸ ὂν, καὶ ἕτερον τὸ γενόμενον· ἄλλο ἡ τοῦ θεοῦ μορφὴ, καὶ ἄλλο ἡ τοῦ ἀνθρώπου μορφή· καὶ ἄλλο ἡ λαβοῦσα, καὶ ἕτερον ἡ ληφθεῖσα· ἕτερον ὁ λυθεὶς ναὸς, καὶ ἕτερον ὁ λυθέντα τοῦτον ἀναστήσας θεός.

(1) Cod. αὐτοῦ.

ΚΕΦΑΛΑΙΟΝ ΛΒ.

Ὅτι οὐ κρᾶσιν λέγειν ὅσιον, ἀλλ' ἕνωσιν ἐπὶ τοῦ Χριστοῦ.

Οὐ τὰς φύσεις τοίνυν συγχέομεν, οὐδὲ κρᾶσιν ποιητοῦ καὶ ποιήματος δογματίζομεν, καὶ τῷ τῆς κράσεως ὀνόματι τὴν σύγχυσιν συνεισφέρομεν, ἀλλὰ καὶ τοῦ θεοῦ λόγου τὴν φύσιν γνωρίζομεν, καὶ τῆς μορφῆς τοῦ δούλου τὴν οὐσίαν γινώσκομεν, ἑκατέραν δὲ φύσιν ὡς ἕνα προσκυνοῦμεν υἱόν· θάτερον γὰρ θατέρῳ Χριστὸς ὀνομάζεται· καὶ οὔτε ἡ τοῦ δούλου μορφὴ ψιλὴ, καὶ γυμνὴ τυγχάνουσα τῆς θεότητος, τοῦτο πώποτε παρὰ τῶν διδασκάλων ἐκλήθη τῆς εὐσεβείας· οἱ δὲ τὴν κρᾶσιν λέγοντες, τῇ κράσει τὴν σύγχυσιν συνεισφέρουσι· τῇ δὲ συγχύσει ἡ τροπὴ συνεισφέρεται· τροπῆς δὲ εἰσιούσης, οὔτε θεὸς ἐπὶ τῆς ἰδίας μένοι ἂν φύσεως, οὔτε ἄνθρωπος ἐπὶ τῆς οἰκείας· ἀνάγκη γὰρ ἐκστῆναι τῶν τῆς οὐσίας ὅρων ἑκάτερον, καὶ μήτε τὸν θεὸν γνωρίζεσθαι θεὸν, μήτε τὸν ἄνθρωπον· τοῦτο δὲ οὐδὲ ἐπὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς λάβοι ἄν τις εὖ φρονῶν· οὐ γὰρ τῷ σώματι τὴν ψυχὴν κεκρᾶσθαι, ἀλλ' ἡνῶσθαι, καὶ συνῆφθαι, καὶ οἰκεῖν, καὶ ἐνεργεῖν φαμέν· καὶ οὔτε τὴν ψυχὴν θνητὴν, οὔτε τὸ σῶμα εἴποι τις ἂν ἀθάνατον, μὴ κομιδῇ παραπαίων, ἀλλὰ τὴν μὲν ἑκατέραν διαιροῦμεν, ἓν δὲ ζῶον γνωρίζομεν τὸ ἐξ ἐκείνου συγκείμενον· καὶ ἑκατέραν μὲν φύσιν διῃρημένοις ὀνόμασιν ὀνομάζομεν, τὴν μὲν ψυχὴν, τὸ δὲ σῶμα, τὸ δὲ ἐξ ἀμφοτέρων συνεστηκὸς ζῶον ἑτέρῳ καλοῦμεν ὀνόματι, ἄνθρωπον γὰρ προσαγορεύομεν· ταῦτα τοίνυν καὶ ἐπὶ τῆς οἰκονομίας τὴν εἰκόνα λαβόντες, τῆς βλασφημίας ἀπαλλαγῶμεν ἐκείνης, καὶ τὴν κρᾶσιν καταλιπόντες τῷ τῆς ἑνώσεως καὶ συναφείας καὶ κοινωνίας ὀνόματι χρώμενοι διατελέσωμεν· φύσεως μὲν διάκρισιν, προσώπου δὲ ἕνωσιν δογματίζοντες· οὕτω τὴν Ἀρείου καὶ Εὐνομίου βλασφημίαν ἐλέγξομεν, τὰ μὲν ταπεινῶς εἰρημένα καὶ πεπραγμένα τῷ σωτῆρι

Χριστῷ, προσάπτοντες τῇ τοῦ δούλου μορφῇ· τὰ δὲ ὑψηλὰ καὶ θεοπρεπῆ καὶ μεγάλα, τῇ ὑψηλῇ καὶ μεγάλῃ καὶ πάντα νοῦν ὑπερβαινούσῃ ἀνατιθέντες θεότητι.

ΚΕΦΑΛΑΙΟΝ ΛΓ.

Ὅτι τῆς ἡμετέρας φύσεως ἡ εἰς οὐρανοὺς ἀνάληψις τὰς τοῦ πνεύματος δωρεὰς ἡμῖν προεξένισεν.

Ἀλλὰ καιρὸς ἀναδραμεῖν ἐπὶ τὸ προκείμενον· ἀναληφθεὶς τοίνυν εἰς οὐρανοὺς ὁ δεσπότης Χριστὸς, καὶ ἑαυτὸν ὥσπερ ἐχέγγυον τῆς τῶν ἀνθρώπων εἰρήνης προσενεγκὼν τῷ πατρὶ, πέμπει τοῖς ἀνθρώποις τὴν χάριν τοῦ πνεύματος, ὥσπέρ τινα τῶν ἐπηγγελμένων ἀγαθῶν ἀῤῥαβῶνα, παιδοτρίβην, καὶ γυμναστὴν, τῶν τῆς εὐσεβείας ἀγωνιστὴν, φύλακα τῶν πιστευόντων ἀκοίμητον, φῶς τῶν προσιόντων ἄσβεστόν τε καὶ ἀνέσπερον, τῶν ψυχικῶν τραυμάτων θεραπευτὴν, ἰατρὸν τῶν ὑπὸ τῆς ἁμαρτίας γινομένων τραυμάτων, στρατηγὸν ἀριστεύειν κατὰ τοῦ διαβόλου διδάσκοντα, ὑποπτέρους τοὺς χαμαιπετεῖς ἐργαζόμενον, τοὺς γηΐνους τὴν τῶν οὐρανῶν πολιτείαν παιδεύοντα, καταφρονεῖν σαρκὸς, ἐπιμελεῖσθαι ψυχῆς, διαπτύειν τὰ παρόντα, ἐφίεσθαι τῶν μελλόντων, ὁρᾷν τὰ προσδοκώμενα διὰ πίστεως, μηδὲν ἡγεῖσθαι τῶν ἐν τῷ βίῳ λαμπρὸν, δόξης καταγελᾷν, τῶν τοῦ πλούτου ῥευμάτων ὑπερορᾷν, ὥραν σώματος ὡς ἄνθος ὁρᾷν μαραινόμενον, μὴ ἀλγεῖν πενομένους, μὴ ἀνιᾶσθαι νοσοῦντας, χαίρειν ἀδικουμένους, λελατουμένους εὐφραίνεσθαι, φέρειν καρτερικῶς τὰ δεινὰ, ὑπερεύχεσθαι τῶν ἀντιδικούντων, εὐλογεῖν τοὺς καταρωμένους, καὶ πᾶσαν ἁπαξαπλῶς φιλοσοφίαν μεταδιώκειν· ταῦτα ἐδίδαξεν ἡ χάρις τοῦ πνεύματος, ταῦτα δὲ καὶ θάλατταν ἐξεπαίδευσεν, ταῦτα καὶ βάρβαροι μετὰ τὴν τοῦ σωτῆρος αὐτῶν φιλοσοφοῦσιν ἐπιδημίαν, ταῦτα ἠπειρῶται, ταῦτα οἱ στρατιῶται, ταῦτα οἱ τὰς ἐσχατιὰς τῆς οἰκουμένης οἰκοῦντες.

ΚΕΦΑΛΑΙΟΝ ΛΔ.

Προτροπη εὐχαριστίας, καὶ ἀποτροπὴ περιουσίας.

Ἀνυμνήσωμεν τοίνυν τὸν τῶν ἀμυθήτων ἀγαθῶν χορηγὸν, τὸν ἐκ τῆς ἐσχάνης ἀλογίας εἰς τὴν προλέραν ἡμᾶς φύσιν ἐπαναγαγόνλα, ἰὸν δι' ἡμᾶς πλωχεύσανλα, ἵνα ἡμεῖς ἰῇ ἐκείνου πτωχείᾳ πλουτήσωμεν· καὶ σὺν αὐτῷ τὸν γνήσιον αὐτοῦ πατέρα, ὃς οὕτως ἠγάπησε ἰὸν κόσμον, ὡς δοῦναι ἰὸν μονογενῆ αὐλοῦ υἱὸν ὑπὲρ αὐτοῦ, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον· καὶ σὺν πατρὶ καὶ υἱῷ τὸ πνεῦμα τὸ ἅγιον, ἐν ᾧ βαπτιζόμενοι τὸν τῆς δωρεᾶς ἀῤῥαβῶνα λαμβάνομεν· δι' οὗ τὰς ψυχὰς φωτιζόμεθα, δι' οὗ τὴν οἰκονομίαν διδασκόμεθα, δι' οὗ τὴν θεολογίαν παιδευόμεθα, δι' οὗ τῆς ἀλογίας ἀπαλλαττόμεθα, δι' οὗ τῆς πλάνης ἠλευθερώθημεν, καὶ τὴν ἀλήθειαν ἔγνωμεν. Καὶ παυσώμεθα τὴν φύσιν πολυπραγμονοῦντες τοῦ ἀγεννήτου, εἰ καὶ αὐτὸς ἀγαθὸς καὶ δίκαιος, καὶ εἰ οἷόν ἰε εἶναί ἰινα μὴ γεννηθένλα ἢ γενόμενον· παυσώμεθα ἰὴν γέννησιν περιεργάζεσθαι τοῦ μονογενοῦς, καὶ τὸν τρόπον ἐπιζητοῦντες, καὶ ἀγεννήτῳ καὶ γεννητῷ διαιτῶντες, καὶ μετροῦντες τὰ ἀμέτρητα· παυσώμεθα κακῶς ἀνιχνεύοντες τὸν τοῦ πνεύματος πρόοδον, καὶ ζητοῦνλες μαθεῖν ἃ μόνῳ πατρὶ καὶ υἱῷ καὶ ἁγίῳ πνεύματι γνώριμα· ἐμμείνωμεν οἷς ἐλάβομεν ὅροις· μὴ ὅρια μετενέγκωμεν ἃ ἔθεντο οἱ πατέρες ἡμῶν· ἀρκεσθῶμεν ἰῇ δοθείσῃ διδασκαλίᾳ παρὰ τοῦ πνεύματος· μὴ βουληθῶμεν ὑπερβῆναι Παύλου τὴν γνῶσιν, ὃς ἐκ μέρους ἔφη γινώσκειν, καὶ ἐκ μέρους προφηἰεύειν, καὶ ἐν ἐσόπτρῳ βλέπειν καὶ ἐν αἰνίγμαἰι ἰὴν ἀλήθειαν· ἀναμείνομεν τῶν ἐλπιζομένων ἀγαθῶν τὴν ἀπόλαυσιν· τότε τὰ τέλεια μαθησόμεθα, ὅτε δι' ἀλαζονείας οὐ βλαβησόμεθα, ὅτε δι' ὑπερηφανίας οὐ πεσούμεθα, ὅτε ἐν ἀπαθείᾳ βιωσόμεθα· οὐκοῦν ἐν τῷ παρόντι ταῖς τῶν πατέρων διδασκαλίαις ἐμμείνωμεν, ἵνα

μὴ μείζω ζητοῦντες, καὶ τῶν ἐλαττόνων ἐκπέσωμεν· ὃ πέπονθεν ὁ προπάτωρ Ἀδάμ· καὶ γὰρ ἐκεῖνος ἐπιθυμήσας γενέσθαι θεὸς, καὶ τὸ εἶναι εἰκὼν θεοῦ προσαπώλεσε.

ΚΕΦΑΛΑΙΟΝ ΛΕ.

Ὅτι χρὴ θεοτόκον καὶ ἀνθρωποτόκον λέγειν.

Τοίνυν περὶ τὴν θεολογίαν μηδεὶς ἀπιστίαν νοσείτω, μηδεὶς περὶ τὴν οἰκονομίαν χωλευέτω, ἀλλὰ τὸν ἐκ παρθένου γεννηθέντα καὶ Χριστὸν θεὸν ὁμοῦ καὶ ἄνθρωπον ὁμολογείτω καθ' ἑκάτερον· διὰ τοῦτο γὰρ καὶ θεοτόκος καὶ ἀνθρωποτόκος ἡ ἁγία παρθένος ὑπὸ τῶν τῆς εὐσεβείας διδασκάλων προσαγορεύεται· τοῦτο μὲν ὡς φύσει τὸν [δούλῳ] ἐοικότα γεννήσασα· ἐκεῖνο δὲ, ὡς τῆς τοῦ δούλου μορφῆς, καὶ θεοῦ τὴν μορφὴν ἡνωμένην ἐχούσης· οὕτω διὰ θεολογίας καὶ οἰκονομίας τὸν τὸ μυστήριον ἡμῖν τὸ ἀποκεκρυμμένον γνωρίσαντα ἀνυμνήσωμεν, καὶ διὰ τῆς τοῦ βίου καθαρότητος ναοὺς ἑαυτοὺς τῷ θεῷ κατασκευάσαντες, ἔνοικον αὐτὸν λάβωμεν· καὶ ταῖς ἀκτῖσιν αὐτοῦ φωτιζόμενοι, ὡς ἐν ἡμέρᾳ εὐσχημόνως περιπατήσωμεν, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, μεθ' οὗ τῷ πατρὶ σὺν τῷ ἁγίῳ πνεύματι δόξα καὶ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΑΡΧΙΕΠΙΣΚΟΠΟΥ ΑΛΕΞΑΝΔΡΕΙΑΣ

ΠΕΡΙ ΤΗΣ ΕΝΑΝΘΡΩΠΗΣΕΩΣ

ΤΟΥ ΘΕΟΥ ΛΟΓΟΥ (1).

Βαθὺ μὲν καὶ μέγα καὶ ἀξιοθαύμαστον ἀληθῶς τὸ τῆς εὐσεβείας μυστήριον, τριπόθητον δὲ καὶ αὐτοῖς τοῖς ἁγίοις ἀγγέλοις· ἔφη γάρ που τοῦ σωτῆρος ὁ μαθητὴς περὶ τῶν εἰρημένων ὑπὸ τῶν ἁγίων προφητῶν περὶ τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ, ἃ νῦν ἀπεκαλύφθη ὑμῖν διὰ τῶν εὐαγγελισαμένων ὑμᾶς ἐν πνεύματι ἁγίῳ ἀποσταλέντι ἀπ' οὐρανοῦ, εἰς ἃ ἐπιθυμοῦσιν ἄγγελοι παρακύψαι· καὶ γοῦν ὅσοι παρέκυψαν τὸ μέγα τῆς εὐσεβείας μυστήριον συνέντες, ὅτε γεγένηται κατὰ σάρκα Χριστὸς, τὰς ὑπὲρ ἡμῶν εὐχαριστίας προσφέροντες ἔλεγον, δόξα ἐν ὑψίστοις θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία· πῶς γὰρ οὐκ ἔμελλον ἀναπιμπλάσθαι θυμηδείας τὸν τοῦ κόσμου σωτῆρα καὶ λυτρωτὴν ὁρῶντες γεγεννημένον ἐκ τῆς ἁγίας παρθένου, οἵ γε καὶ ἑνὸς ἁμαρτωλοῦ μετανοοῦντος ἑορτάζουσι, καθά φησιν ὁ σωτὴρ; χορεύει τοίνυν δι' ἡμᾶς ἡ τῶν ἁγίων πνευμάτων πληθύς· καὶ ποῖά τις ἡ τοῦδε πρόφασις; ἡ ἐνανθρώπησις τοῦ μονογενοῦς, ἡ κατὰ σάρκα γέννησις, τὸ τῆς εἰς ἡμᾶς ἡμερότητος πλάτος, τῆς ἀσυγκρίτου φιλανθρωπίας τὸ μέγεθος· ὁ μὲν γὰρ μακάριος προφήτης Ἡσαΐας φησὶ· κατέπιεν ὁ θάνατος ἰσχύσας· καὶ πάλιν· ἀφεῖλεν ὁ θεὸς πᾶν δάκρυον ἀπὸ παντὸς προσώπου· ἀφεῖλε δέ τινα τρόπον ἀπὸ παντὸς προσώπου δάκρυον, ἢ πῶς τὴν ἀρχαίαν ἐκείνην ἀρὰν ἄπρακτον ἀποφήνας, τὸ δυσάντητον τοῦ θανάτου κατέλυσεν κράτος, διδάξει πάλιν ὁ σοφώτατος Παῦλος·

(1) Haec S. Cyrilli homilia latine tantummodo extabat hactenus in editione parisiaca T. V. part. 2. pag. 416. Nunc vaticanus demum codex graecum textum editoribus operum S. Cyrilli ignotum restituit.

ἐπειδὴ γὰρ τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τουτέστιν τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ βίου ἔνοχοι ἦσαν δουλείας.

Τί τοίνυν ἐστὶ τὸ παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἢ ἐκεῖνό που πάντως, ὅτι γέγονεν καθ' ἡμᾶς ἐκ τῆς ἁγίας καὶ θεοτόκου Μαρίας ἐν αἵματι καὶ σαρκί; θεὸς γὰρ ὢν φύσει καὶ ἀληθινὸς ὁ ἐκ τοῦ θεοῦ καὶ πατρὸς λόγος, ὁμοούσιος καὶ συναΐδιος τῷ πατρὶ, καὶ τοῖς τῆς ἰδίας ὑπεροχῆς διαπρέπων ὑψώμασι, καὶ ἐν μορφῇ, καὶ ἰσότητι τοῦ γεννήσαντος, οὐχ' ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι εἶσα θεῷ, ἀλλ' ἑαυτὸν ἐκένωσεν μορφὴν δούλου λαβὼν ἐκ τῆς ἁγίας Μαρίας ἐν ὁμοιώματι ἀνθρώπων γενόμενος, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος, ἐταπείνωσεν ἑαυτὸν μέχρι θανάτου, θανάτου δὲ σταυροῦ· οὐκοῦν ἑαυτὸν καθῆκεν ἑκουσίως εἰς ταπείνωσιν, ὁ ἐξ ἰδίου πληρώματος τοῖς ἅπασι διδούς· καθῆκεν δὲ ἑαυτὸν δι' ἡμᾶς, οὐ βεβιασμένος παρά τινος, ἀλλ' ἐθελοντὶ ὑπὲρ ἡμῶν μορφὴν δούλου λαβὼν, ὁ κατὰ φύσιν ἰδίαν ἐλεύθερος, ἐν τοῖς καθ' ἡμᾶς ὁ ὑπὲρ πᾶσαν τὴν κτίσιν, ἐν τοῖς ὑπὸ θάνατον ὁ πάντα ζωογονῶν· αὐτὸς γάρ ἐστιν ὁ ἄρτος ὁ ζῶν, καὶ ζωὴν διδοὺς τῷ κόσμῳ· γέγονεν μεθ' ἡμῶν ὑπὸ νόμον, ὁ ὑπὲρ νόμον καὶ νομοθέτης, ὡς θεός· ἐν τοῖς ὑπὸ γένεσιν καὶ ἀρχὴν τοῦ εἶναι λαχοῦσιν, ὁ πρὸ παντὸς αἰῶνος καὶ χρόνου, μᾶλλον δὲ τῶν αἰώνων κτίστης, καὶ ποιητής.

Πῶς οὖν γέγονεν καθ' ἡμᾶς; σῶμα λαβὼν ἐκ τῆς ἁγίας παρθένου· σῶμα δὲ οὐκ ἄψυχον, καθάπερ ἔδοξε τισὶ τῶν αἱρετικῶν, ἐψυχωμένον δὲ μᾶλλον ψυχῇ λογικῇ· οὕτω προῆλθεν τέλειος ἄνθρωπος ἐκ γυναικὸς χωρὶς ἁμαρτίας· ἀληθινῶς, καὶ οὐ δοκήσει καὶ φαντασίᾳ, οὐκ ὀλιγωρήσας τοῦ εἶναι θεὸς, οὔτε μὴν ἀποβεβληκὼς ὅπερ ἦν ἀεὶ, καὶ ἔστι, καὶ ἔσται θεός· οὕτω θεοτόκον φαμὲν τὴν ἁγίαν παρθένον· ὡς γὰρ ὁ μακάριος Παῦλος φησίν· εἷς θεὸς καὶ πατὴρ, ἐξ οὗ τὰ πάντα, καὶ εἷς

Ἰησοῦς Χριστὸς, δι' οὗ τὰ πάντα· οὐ γὰρ διαιροῦμεν τὸν ἕνα καὶ Θεὸν καὶ σωτῆρα ἡμῶν εἰς δύο υἱοὺς τὸν ἐνανθρωπήσαντα καὶ σεσαρκωμένον τοῦ θεοῦ λόγον· οὐδὲ καθάπερ οἴονταί τινες τῶν αἱρετικῶν καὶ ἀσυνέτων, ἀνακεχυμένων ὥσπερ εἰς ἀλλήλας θεότητός τε καὶ ἀνθρωπότητος, ἤγουν τοῦ θεοῦ λόγου μεταχωρήσαντος εἰς φύσιν σαρκὸς, ἢ καὶ τῆς σαρκὸς μεταβληθείσης εἰς φύσιν θεότητος, ἄτρεπτος γὰρ καὶ ἀναλλοίωτος παντελῶς ἐστὶν ὁ τοῦ θεοῦ λόγος, ἀλλ' ὅτι σάρκα ἐψυχωμένην ψυχῇ λογικῇ ἑνώσας ἑαυτῷ ἐκ τῆς ἁγίας παρθένου κατὰ ἀλήθειαν ὁ τοῦ θεοῦ λόγος ἀφράστως σεσαρκῶσθαι καὶ ἐνανθρωπῆσαι λέγεται.

Ἀρκεῖ τοιγαροῦν πρὸς ὀρθὴν καὶ ἀδιάβλητον τῆς πίστεως ἡμῶν ὁμολογίαν τὸ θεοτόκον λέγειν, καὶ ὁμολογεῖν. τὴν ἁγίαν παρθένον· τόγε μὴν προσεπάγειν ὅτι καὶ ἀνθρωποτόκος, οὐκ ἀναγκαῖον οὔτε ἐπωφελὲς (1)· ἕνα γὰρ θεὸν ἐδιδάχθημεν ὁμολογεῖν καὶ πιστεύειν αὐτὸν, καὶ μετὰ τὴν ἐνανθρώπησιν, καθὼς ὁ Παῦλος· εἷς θεὸς, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων· ἄνθρωπον μὲν γὰρ γενέσθαι φαμὲν ἀτρέπτως τὸν τοῦ θεοῦ λόγον, καὶ ὅσον μὲν ἧκεν εἰς τὴν τῆς σαρκὸς φύσιν, τέτοκεν ἡ ἁγία παρθένος τὸ ἑαυτῇ τε καὶ ἡμῖν ὁμοούσιον σῶμα· ἀλλ' ἔν γε τῷ θεοτόκον εἰπεῖν συνεισάγεται πάντως καὶ ἡ τούτου δήλωσις· οὐ γὰρ θεότητα τέτοκε γυμνὴν ἡ ἁγία παρθένος, ἀλλ' ἑνωθέντα σαρκὶ τὸν τοῦ θεοῦ λόγον, καὶ οὐκ ἂν ἑτέρως νοοῖτο θεοτόκος, εἰ μὴ κατὰ τοῦτον αὐτὸν τὸν τρόπον· ὥστε προειστρέχει πάντως ἡ τῆς ἐνανθρωπήσεως ὁμολογία· καὶ οὕτως ἔσται λοιπὸν ἀληθὲς, ὅτι θεοτόκος γέγονεν ἡ ἁγία παρθένος ἀποτεκοῦσα παραδόξως ἕνα Χριστὸν παραπλησίως ἡμῖν μετεσχηκότα σαρκὸς καὶ αἵματος, καὶ ὁμοούσιον αὐτῇ τε, καὶ ἡμῖν κατὰ τὸ ἀνθρώπινον, ὡς εἶναι

(1) Sic loquitur ad populum Cyrillus, ne ambiguis vocabolorum notionibus, quibus Nestoriani abutebantur, deciperetur; quamquam extremo praecedentis opusculi capitulo vocabulum quoque ἀνθρωποτόκος a recta theologia non abhorrere Cyrillus dixit.

τὴν σάρκα ἐκ τῆς θεοτόκου Μαρίας· οὐ γὰρ ὁμοιοούσιον ὡς ἔδοξε τισὶ τῶν αἱρετικῶν, ἀλλ' ὁμοούσιον, τουτέστιν ἐκ τῆς ἡμετέρας οὐσίας· φησὶ γὰρ, σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται· τὸ δὲ ὁμοιοούσιον σημαίνει οὐκ ἀληθινὸν ἄνθρωπον, ἀλλ' ὁμοίωμα υἱοῦ ἀνθρώπου, καθὼς ὁ Δανιὴλ φησίν· ὁ δὲ ἀπόστολος οὐχ' ὁμοίωμα ἡμᾶς ἐδίδαξεν, ἀλλὰ φησὶν, ἄνθρωπος Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ἀντίλυτρον ὑπὲρ πάντων· ὁμοούσιον δὲ τὸν αὐτὸν τῷ θεῷ καὶ πατρὶ θεϊκῶς, καθὼς καὶ οἱ πατέρες ἡμῶν ὡμολόγησαν, ὁμοούσιον τῷ πατρὶ, καὶ οὐχ' ὁμοιοούσιον εἰπόντες.

Περιττὸν οὖν ἄρα καὶ οὐκ ἀναγκαίως, θεοτόκον λέγοντες, ἐπάγομεν καὶ ἀνθρωποτόκον· ἀρκεῖ γὰρ, ὡς ἔφην, ἡ πρώτη φωνὴ, τοῦ παντὸς ἡμῶν μυστηρίου τὴν ὁμολογίαν ἔχουσα, καὶ πρόφασιν εὑρεσιλογίας οὐδεμίαν παρέχουσα τοῖς ἐθέλουσι συκοφαντεῖν τὴν ἀλήθειαν· ἔθος μὲν γὰρ τοῖς αἱρετικοῖς τὰ ὀρθῶς εἰρημένα παρατρέπειν εἰς κίβδηλον νοῦν· ξενιζόμεθα δὲ κατ' οὐδένα τρόπον, ἐννοοῦντες ὅτι πεπλάνηνται, καὶ αὐτὰς τὰς θείας παρερμηνεύοντες γραφάς· οὐκοῦν ἡμᾶς μὲν προσήκει κατά γε τὸν πρέποντά τε καὶ ὀρθῶς ἔχοντα σκοπὸν προσφέρειν τὰς λέξεις· εἰ δὲ νοοῦσι πάλιν οὐκ ὀρθῶς, οὐδὲν πρὸς ἡμᾶς· ἐκεῖνοι ἀκούσονται διὰ τοῦ προφήτου λέγοντος· οὐαὶ οἱ λέγοντες τὸ πονηρὸν καλὸν, καὶ τὸ καλὸν πονηρὸν· ἀλλ' οὐδεμία κοινωνία φωτὶ πρὸς σκότος, ἀλλ' οὐδὲ συμφώνησις Χριστοῦ πρὸς Βελίαλ· βαδιούμεθα γὰρ ἡμεῖς τὴν ὀρθὴν καὶ ἀκιβδήλως ἔχουσαν ὁδὸν, ἤτοι τρίβον τὴν βασιλικήν τε καὶ ἀδιάστροφον· καταντήσομεν γὰρ οὕτως εἰς τὸ βραβεῖον τῆς ἄνω κλήσεως, ἐν Χριστῷ Ἰησοῦ, δι' οὗ καὶ μεθ' οὗ τῷ θεῷ καὶ πατρὶ ἡ δόξα σὺν ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΜΑΚΑΡΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΚΑΤΑ ΤΩΝ ΜΗ ΒΟΥΛΟΜΕΝΩΝ ΟΜΟΛΟΓΕΙΝ ΘΕΟΤΟΚΟΝ ΤΗΝ ΑΓΙΑΝ ΠΑΡΘΕΝΟΝ.

Ἴσασιν ἰατρῶν παῖδες προφυλακτικὰ τῶν παθῶν βοηθήματα, τῇ τέχνῃ προαναστέλλοντες τὴν μέλλουσαν βλάβην, καὶ τῇ τῶν διαφόρων φαρμάκων συνθέσει τὴν τῶν παθῶν νικῶντες ἀγριότητα· προορῶσι καὶ κυβερνῆται πολλάκις τὰς τῶν πνευμάτων μεταβολὰς ὑπὸ τῆς συνηθείας ὁδηγούμενοι, καὶ τὴν προσήκουσαν τῇ χρείᾳ ποιούμενοι πρόνοιαν, ἀναυάγητον τὸ σκάφος τῇ τοῦ θεοῦ συνεργείᾳ διαφυλάττουσιν· τοσαύτην τῶν ἡμετέρων ψυχῶν ὁ θεὸς ποιούμενος πρόνοιαν, προλέγει τῶν πειρασμῶν ἡμῖν τὸν κίνδυνον, ἵνα μαθόντες πρὸ τῆς πείρας τὴν βλάβην, ἀσφαλῶς τὸν ἐκ ταύτης διαφύγωμεν κίνδυνον· οἶδεν γὰρ τὰ πάντα πρὶν γενέσεως αὐτῶν· οὐ στοχῷ καθάπερ ἐκεῖνοι τὸ χρήσιμον λογιζόμενος, ἀλλὰ προγνώσει θεοπρεπεῖ γινώσκων τὰ μέλλοντα· οὕτω καὶ τῆς κρίσεως ἡμῖν ἐπέδειξε πρὸ καιροῦ τὰ κολαστήρια, ὡς ἂν τῷ φόβῳ τῶν δεινῶν παιδευθέντες τὴν ἐκ τούτων εὐκόλως τιμωρίαν ἐκφύγωμεν· οὐδὲν δὲ ἧττον καὶ τοῦτο πρὸς τοῖς ἄλλοις προείρηκεν, ὡς ἔσονται ψευδόχριστοι καὶ ψευδοδιδάσκαλοι οἵτινες παρεισάξουσιν αἱρέσεις, ἀπωλείας, αὐτὸν τὸν μόνον δεσπότην καὶ κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἀρνούμενοι· καὶ πολλοὶ ἐξακολουθήσουσιν αὐτῶν ταῖς ἀσελγείαις, δι᾽ οὓς ἡ δόξα τῆς ἀληθείας βλασφημισθήσεται, ἵνα τούτων παραγενομένων μηδαμῶς ἀπατώμεθα, τοῖς ὀλεθρίοις αὐτῶν ὑποπίπτοντες δόγμασιν.

Πεπλήρωται δὲ τῆς προῤῥήσεως τὸ ἔργον· πολλαὶ γὰρ κατὰ καιρὸν ἐπανέστησαν αἱρέσεις τῇ τοῦ θεοῦ ἐκκλησίᾳ τὴν ὀρθὴν παραλύειν πολυτρόπως βιαζόμεναι πίστιν, ὧν ἡ μὲν τὸν τοῦ θεοῦ λόγον ξένον παντάπασιν τῆς πατρῴας οὐσίας λέγειν τετόλμηκεν, ἡ δὲ τοῦ πνεύματος τὴν ἀξίαν ἠγνόηκεν, ἡ δὲ τῆς ἐπιδημίας τοῦ λόγου ἠρνή-

σαῖο τὴν ἀλήθειαν· ἐσχάτη δὲ πασῶν καθάπερ τρυγίας τῶν κακῶν, ἡ νῦν ἀναπέφανται βλασφημία, μὴ γεγενῆσθαι τὸν λόγον ἄνθρωπον, ἀλλ' ἐν ἀνθρώπῳ γεννηθέντι ἐκ γυναικὸς ἐνῳκηκέναι λέγουσα· ὡς λοιπὸν εἰς δύο τὸν ἕνα Χριστὸν διὰ τοῦτο μερίζεσθαι, εἴς τε Θεὸν φημὶ καὶ ἄνθρωπον· ἔστι δὲ τοῦτο τῆς ἀποστολικῆς διδασκαλίας ἀλλότριον, δαιμονικῆς δὲ μᾶλλον ἐπινοίας ἐφεύρεσις· ἄνθρωπον μὲν γὰρ τὸν τοῦ Θεοῦ λόγον ἐπὶ συντελείᾳ τῶν αἰώνων γενόμενον ὁ θεῖος ἡμῖν εὐαγγελίζεται λόγος, οὐκ εἰς ἀνθρώπου μεταβαλόντα φύσιν, ἀλλὰ ταύτην εἰς ἑαυτὸν προσλαβόμενον· ἄτρεπτος γὰρ ὑπάρχει, καὶ ἀναλλοίωτος· εἰ δὲ, καθάπερ ἐκεῖνοι φασὶν, εἰς ἄνθρωπον ἐκ γυναικὸς τεχθέντα ἡ θεία γέγονεν ἐπιφοίτησις, τοῦτο καὶ ἐν τοῖς προφήταις πᾶσιν ἐγίνετο· ἔδει τοιγαροῦν, εἴπερ οὕτως ἐγένετο, μεμερισμένως ἑκάστου παρὰ τῇ θείᾳ γραφῇ τὰς ὁμολογίας εὑρίσκεσθαι· καὶ τὸν μὲν ἰδίᾳ καθ' ἑαυτὸν ὡς Θεοῦ λόγον ἀνυμνεῖσθαι, τὸν δὲ ὡς ἄνθρωπον, καὶ ἕνα τὸν καθ' ἡμᾶς τοῖς ἄνω πρέπουσι δοξάζεσθαι λόγοις.

Ἀλλ' οὐχ' οὕτως ἡμῖν οἱ ἀπόστολοι τὴν εὐθεῖαν εὐαγγελίαν ἐκήρυξαν, ἀλλ' ἕνα Χριστὸν Θεὸν ὁμοῦ καὶ ἄνθρωπον τὸν αὐτὸν παραδεδώκασι· καὶ τοῦτο σαφῶς ὁ μὲν Θεολόγος Ἰωάννης ἐν εὐαγγελίοις διδάσκει λέγων· ἐν ἀρχῇ ἦν ὁ λόγος, καὶ ὁ λόγος ἦν πρὸς τὸν Θεὸν, καὶ Θεὸς ἦν ὁ λόγος· εἶθ' ἑξῆς ἐπάγων· καὶ ὁ λόγος σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν· ὁ δὲ ἱεροκήρυξ Παῦλος ἑβραίοις ἐπιστέλλει λέγων· ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκὸς, καὶ αὐτὸς παραπλησίως, μετέσχε τῶν αὐτῶν· ἀκούεις ὅπως ὁ μὲν σάρκα γεγενῆσθαι τὸν λόγον, ὁ δὲ πάλιν αὐτὸν τῶν αὐτῶν μετασχόντα εἴρηκεν; εἰ δὲ ἄνθρωπος μὲν ἐκ γυναικὸς ὁ Ἰησοῦς ἐτέχθη, μετὰ δὲ ταῦτα ἡ τοῦ λόγου γέγονεν πρὸς αὐτὸν ἐπιφοίτησις, ἔδει καθάπερ εἴρηται, δύο καὶ πάντη μεμερισμένων πρὸς ἅπαν τὰς ὁμολογίας εὑρίσκεσθαι· νυνὶ δὲ τῆς θεοπνεύστου γραφῆς κοινολογούσης τά τε τῇ θεότητι φυσικῶς ἁρμόζοντα, καὶ τὰ τῇ ἀνθρώπου πρέποντα φύσει, καθαρὰ τῆς ἑνώσεως ἡ οἰκονομία εὑρίσκεται. Ὅταν

τοίνυν ἀκούσῃς τοῦ ἀποστόλου λέγοντος, προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἄρ' οὐκ ἐρυθριᾷς διαιρῶν τοῦ λόγου τὸν Ἰησοῦν; οὐ γὰρ εἶπεν τοῦ μεγάλου θεοῦ τοῦ ἐν Ἰησοῦ Χριστῷ, ἀλλὰ τὸν αὐτὸν θεὸν καὶ Ἰησοῦν ἐκήρυξεν· διὸ καὶ μίαν τὴν ἐπιφάνειαν εἴρηκεν.

Ἐστὶ δὲ ὅτε καὶ τὰ τῆς ἀνθρωπότητος ἴδια τῇ τοῦ θεοῦ προσηγορίᾳ ἡ θεία κηρύττει γραφή· τοῦ γὰρ σωτηρίου πάθους τῇ τῆς θεότητος φύσει οὐδαμῶς νοεῖσθαι δυναμένου, εἰς δὲ τὸ σῶμα παντελῶς τῶν παθημάτων γεγενημένων διὰ τὸ συνεῖναι ἀχωρίστως καθ' ἕνωσιν αὐτῷ τὴν θεότητα, εἰ ἔγνωσαν, φησὶν ὁ ἀπόστολος, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν· ὁρᾷς ὅπως κοινολογεῖ, τῆς ἑνώσεως χάριν, τὴν εἰς τὸν Χριστὸν ὁμολογίαν τῆς ἀποστολικῆς διδασκαλίας ὁ λόγος; οὐ γὰρ ἄνθρωπος μὲν ψιλὸς Ἰησοῦς ὑπῆρξεν πολὲ πρὸ τῆς τοῦ θεοῦ πρὸς αὐτὸν κοινωνίας τε καὶ ἑνώσεως, ἀλλ' αὐτὸς ὁ λόγος ἐν αὐτῇ τῇ μακαρίᾳ παρθένῳ γενόμενος, τὸν ἴδιον ναὸν ἑαυτῷ ἐκ τῆς οὐσίας τῆς παρθένου ἔλαβεν, καὶ προῆλθεν ἐξ αὐτῆς ἄνθρωπος μὲν ἔξωθεν θεωρούμενος, ἔνδοθεν δὲ θεὸς ὑπάρχων ἀληθινός· διὸ καὶ μετὰ τὸ τεχθῆναι παρθένον τὴν τεκοῦσαν τετήρηκεν· ὅπερ ἐπ' οὐδενὸς τῶν ἄλλων ἁγίων γεγένηται· ἐπειδὴ γὰρ ἐκεῖνοι τὴν φύσιν ὑπῆρχον ἄνθρωποι, ἀνθρωπίνην καὶ ἴσην τὴν γένεσιν ἔλαχον ἅπαντες· οὗτος δὲ ἐπειδὴ κατὰ φύσιν ὑπῆρχεν θεὸς, προσλαβὼν ἐν χρόνῳ ἐσχάτῳ καὶ τὸ ἀνθρώπινον, ξένην παρὰ πάντας τὴν ἐκ τῆς παρθένου γένεσιν ἐπεδείξατο· οὐκοῦν εἰκότως καὶ θεοτόκος καὶ παρθενομήτωρ ἡ μακαρία δικαίως ἂν λέγοιτο· οὐ γὰρ ἄνθρωπος ψιλὸς ἦν ὁ τεχθεὶς ἐξ αὐτῆς Ἰησοῦς· πῶς γάρ; ὅπου καὶ πρὸ τῆς ἐπιδημίας γεγενημένα, τῇ τούτου ἐνεργείᾳ καὶ ἐξουσίᾳ ἡ θεία προσαναφέρει γραφή· καὶ γοῦν Ἰοῦδας ὁ μακάριος μαθητὴς μεγαλοφώνως ἡμῖν τὴν τοιαύτην παραδέδωκεν πίστιν· τῶν γὰρ πρὸ πολλῶν γενεῶν τῆς ἐκ παρθένου προόδου μεμνημένος, οὕτω φησίν· ὑπομνῆσαι δὲ ὑμᾶς βούλομαι εἰδότας ἅπαντα,

ὅτι Ἰησοῦς λαὸν ἐκ γῆς Αἰγύπτου σώσας, τὸ δεύτερον τοὺς μὴ πιστεύσαντας ἀπώλεσεν, ἀγγέλους τοὺς μὴ τηρήσαντας τὴν ἑαυτῶν ἀρχὴν, ἀλλὰ ἀπολειπόντας τὸ ἴδιον οἰκητήριον, εἰς κρίσιν μεγάλης ἡμέρας δεσμοῖς ἀϊδίοις ὑπὸ ζόφον τετήρηκεν.

Εἰ δὲ ἄνθρωπον ψιλὸν ἔτεκεν ἡ μακαρία παρθένος τὸν Ἰησοῦν, τοῦτον δὲ φησὶν ὁ μαθητὴς, τῆς Αἰγυπτίων χειρὸς τὸν Ἰσραὴλ ἐλευθερώσαντα, καὶ ἡγούμενον τοῦ λαοῦ κατὰ τὴν ἔρημον, ὅς καὶ τῶν τεραστείων ἐπετέλει τὰ θαύματα πρὸ τοσούτων γενεῶν τῆς ἐκ παρθένου γεννήσεως, ποῦ τοῦτον ἄρα κατ' ἐκείνους τοὺς χρόνους ὑπάρχειν δώσουσιν; πότε δὲ τῆς γενέσεως τὴν ἀρχὴν ἐσχηκότα; οὐκέτι γὰρ αὐτοῖς λόγος συγχωρήσει λέγειν ἐκ τῆς παρθενικῆς προόδου τὴν ἀρχὴν αὐτὸν τοῦ εἶναι εἰληφότα· διδασκέτωσαν τοίνυν οἱ τῶν κακῶν ἐφευρέται δογμάτων, πότε τῆς γενέσεως τὴν ἀρχὴν οὗτος ὁ ἄνθρωπος ἔσχηκεν; ποῦ δὲ, καὶ ἐν τίσιν ἄρα διετέλει τοσούτοις ἔτεσιν; ἀλλ' οὐκέτι τοῦτον ἄνθρωπον εἶναι τῶν εὖ φρονούντων τίς ἐρεῖ, ὅς καὶ τοῖς κατὰ τὸ παλαιὸν ἁμαρτήσασιν, καὶ τὸ ἴδιον ἀπολειποῦσιν οἰκητήριον ἐκ τότε τὰς τιμωρίας ὥρισεν, καὶ τῆς Αἰγυπτίων χειρὸς Ἰσραὴλ ἐνδόξως ἐρύσατο· εἰ τοίνυν κατὰ τὴν αὐτῶν ἔκδοσιν, οὔτε ὁ θεὸς λόγος ὑπονοεῖσθαι δύναται, διὰ τὸ τὸν ἐκ τῆς παρθένου τεχθέντα εἶναι τὸν Ἰησοῦν, οὔτε ἄνθρωπος πάλιν ὁ ταῦτα θαυματουργήσας (ξένα γὰρ τῆς ἀνθρώπου φύσεως τὲ καὶ δυνάμεως τὰ προειρημένα καθέστηκεν) τίνα λοιπὸν ἐπινοῆσαι οὐσίαν τούτῳ καὶ τάξιν δυνήσονται;

Ἀλλ' ἡμεῖς τὰ τούτων ῥήματα τοσαύτης ἀνοίας καὶ παραφροσύνης ὁρῶντες μεστὰ, καὶ οἷάπερ ἐν ὕπνοις καὶ μέθῃ πρὸς αὐτῶν λεγόμενα, τούτοις μὲν κατὰ τὴν τοῦ σωτῆρος ἐροῦμεν φωνήν· πλανᾶσθε μὴ εἰδότες τὰς γραφὰς, μηδὲ τὴν δύναμιν τοῦ θεοῦ· διὸ δὴ ἐκνήψατε δικαίως, καὶ μὴ ἁμαρτάνετε, ἀγνωσίαν θεοῦ εἰς τοσοῦτον νοσήσαντες· ὀρθῶς δὲ πάλιν, καὶ ὡς προαποδέδοται τῆς ἑνώσεως νοοῦντες τὴν δόξαν, θεόν τε ἀεὶ ὄντα τοῦτον, γενόμενον δὲ ἐπ' ἐσχάτων καὶ ἄνθρωπον ἐπιστάμενοι, ἀτρέπτου καὶ ἀναλλοιώτου φυλαχθείσης αὐτοῦ τῆς θεότητος, αὐτὸν καὶ τότε

τῆς ἐξ Αἰγύπτου πορείας τοῦ Ἰσραὴλ σωτῆρα πιστεύομεν· ἀεὶ μὲν τοῦ πατρὸς ὄντα λόγον, καὶ φῶς, καὶ ἀπαύγασμα, καὶ τῆς θεοπρεποῦς δόξης τὴν δυναστείαν ἔχοντος· διὸ δὴ καὶ ἔλεγεν τῷ μακαρίῳ Μωϋσῇ· ἐγώ εἰμι ὁ ὤν, καὶ ἐγὼ ὁ θεὸς Ἀβραάμ, καὶ θεὸς Ἰσαάκ, καὶ θεὸς Ἰακώβ· τὴν δὲ τοῦ υἱοῦ προσηγορίαν προσλαβόντα μὲν ὅτε γέγονεν ἄνθρωπος· τῆς δὲ ἑνώσεως χάριν, καὶ διὰ τὸ αὐτὸν ἄνθρωπον γεγενῆσθαι, ἀλλ' οὐκ ἐν ἀνθρώπῳ ἐνῳκηκέναι, καὶ τὰ τότε, καὶ τὰ νῦν τῇ Ἰησοῦ καὶ Χριστοῦ προσηγορίᾳ ἀκολούθως ὑπὸ τῆς θεοπνεύστου γραφῆς δοξαζόμενον.

Καὶ γοῦν τὴν τοιαύτην ὑπόθεσιν ἔξεστι διὰ πλειόνων θεωρεῖν ὑπὸ τῶν ἁγίων κηρυττομένην ἀνδρῶν· τοῦ μὲν Ἱερεμίου διαῤῥήδην βοῶντος· οὗτος ὁ θεὸς ἡμῶν, οὐ λογισθήσεται ἕτερος πρὸς αὐτόν, ἐξεῦρεν πᾶσαν ὁδὸν ἐπιστήμης, καὶ ἔδωκεν αὐτὴν Ἰακὼβ τῷ παιδὶ αὐτοῦ, καὶ Ἰσραὴλ τῷ ἠγαπημένῳ ὑπ' αὐτοῦ, μετὰ ταῦτα ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη· τοῦ δὲ ὑμνογράφου μελῳδοῦντος Δαβίδ· μήτηρ σιὼν ἐρεῖ ἄνθρωπος, καὶ ἄνθρωπος ἐγενήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ ὕψιστος· τοῦτο γὰρ τί ἂν εἴη ἕτερον ἀλλ' ἢ ὅτι αὐτὸς ὑπάρχει θεός, καὶ ἄνθρωπος; ἄνθρωπον γάρ, καὶ ὕψιστον, καὶ θεμελιωτὴν τὸν αὐτὸν ὡμολόγησεν· οὐδὲν δὲ ἧττον καὶ ἐν ἑτέρῳ ψαλμῷ ἀδιαίρετον τῆς ἑνώσεως φυλάττων τὸν λόγον, τὰ τῆς ἀνθρωπότητος ἴδια ὡς αὐτῷ πάλιν τῷ θεῷ λόγῳ ἀναφέρων εὑρίσκεται, οὐ τῶν οὐσιῶν σύγχυσιν ἐργαζόμενος, ἀλλὰ τῆς ἑνώσεως τῶν οὐσιῶν ἐπιγινώσκων τὸν λόγον· λέγει τοιγαροῦν οὕτως ἐν μδ ψαλμῷ· ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν, διὰ τοῦτο ἔχρισέν σε ὁ θεὸς ὁ θεός σου ἔλεον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου· ὁρᾷς ὅπως τὸν λόγον θεολογήσας, θεόν τε καὶ βασιλέα ὁμολογήσας, οὐ διελὼν οὐδὲ ἕτερον πρόσωπον εἰσενέγκας αὐτῷ, καὶ τὸ κεχρίσθαι εἴρηκεν· λεγέτωσαν οὖν τί ἐστὶν τὸ λεγόμενον; πῶς δὲ θεὸς ὢν ὁ λόγος ἐχρίετο, ἀλλ' ἢ πάντως ὅτι αὐτὸς ἦν ὁ τὴν τοῦ δούλου μορφὴν ἐνδυσάμενος, ἢ

καὶ το χρίσμα λαμβάνειν εἴη ἂν πρεπωδέσλατον· κἂν γὰρ λέγωσιν διὰ λὴν πρὸς τὸν ἄνθρωπον ἐνοίκησιν, ὡς αὐλοὶ πλανῶνλαι, λοῦ λόγου πρόσωπον τὸ χρίσμα λέγεσθαι, μανθανέτωσαν ὅτι περ ἐνοίκησις οὐκ ἐπὶ τοῦ Χρισλοῦ, ἀλλ' ἐπὶ τῶν προφηλῶν, καὶ τῶν ἄλλων ἁγίων λέγεται, καὶ ὑπερβαίνει σφόδρα τοὺς τῆς ἐνοικήσεως ὅρους τὸ λεγόμενον· καὶ γοῦν ἐνοικήσανλος τοῦ θεοῦ ἐν τοῖς ἁγίοις πᾶσιν, ἁγιαζομένων τε καὶ χριομένων, οὐ λέγεται ὡς αὐτὸς ἁγιαζόμενος ἢ χριόμενος· εἰ μὲν οὖν καθ' ὁμοιότητα τῶν ἁγίων, καὶ ἐπ' αὐτοῦ τὴν ἐνοίκησιν λέγουσιν, ἔκδηλος ἡ ἀσέβεια πᾶσιν ἔσται, καὶ τῆς ἀποστολικῆς διδασκαλίας παντελῶς ἀλλοτρία.

Περὶ μὲν γὰρ τῶν προφητῶν, καὶ τοῦ Χριστοῦ διαλεγόμενος ὁ Παῦλος, ἀσύγκριλον τούτου πρὸς ἐκείνους διαφορὰν ἡμᾶς ἐδίδαξεν, λέγω δὴ τοῦ λεγομένου κεχρίσθαι· τὸν μὲν γὰρ υἱὸν καὶ τοῦ πατρὸς ἀπαύγασμα καὶ χαρακτῆρα τῆς ὑποστάσεως αὐτοῦ, τοὺς δὲ προφήτας ὠνόμασεν· καὶ τόγε θαυμασλὸν ὅτι μέλὰ τούτων τῶν ὑψηλῶν, τοῦ χρίσμαλος καὶ αὐτὸς ἐμνημόνευσεν. Πολυμερῶς γὰρ, φησὶν, καὶ πολυτρόπως πάλαι ὁ θεὸς λαλήσας τοῖς πατράσιν ἐν τοῖς προφήταις, ἐπ' ἐσχάτων τῶν ἡμερῶν τούτων ἐλάλησεν ἡμῖν ἐν υἱῷ, ὃν ἔθηκε κληρονόμον πάντων, δι' οὗ ἐποίησε τοὺς αἰῶνας· ὃς ὢν ἀπαύγασμα τῆς δόξης, καὶ χαρακτὴρ τῆς ὑποστάσεως αὐτοῦ, φέρων τε τὰ πάντα τῷ ῥήματι τῆς δυνάμεως αὐτοῦ, καθαρισμὸν τῶν ἁμαρτιῶν ποιησάμενος, ἐκάθισεν ἐν δεξιᾷ τῆς μεγαλωσύνης ἐν ὑψηλοῖς. Καὶ μετ' ὀλίγα φησίν· καὶ πρὸς μὲν τοὺς ἀγγέλους λέγει· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύμαλα, καὶ λοὺς λεἱουργοὺς αὐτοῦ πυρὸς φλόγα· πρὸς δὲ τὸν υἱόν· ὁ θρόνος σου ὁ θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου· ἠγάπησας δικαιοσύνην, καὶ ἐμίσησας ἀδικίαν· διὰ τοῦτο ἔχρισέν σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Θεωρεῖς ὡς σφόδρα ἀλλότριος ἐπὶ τοῦ Χριστοῦ ὁ τῆς ἐνοικήσεως ὅρος; εἰ δὲ λέγουσιν ἐνταῦθα τὴν ἐνοίκησιν μὴ τοῖς ἁγίοις ὁμοίως, ἀλλὰ

καθ' ἕνωσιν τὸν λόγον πρὸς ἄνθρωπον ἐκ τῆς παρθένου τεχθέντα γεγενῆσθαι, οὐ δυνατὸν μὲν μετὰ τὴν ἀποκύησιν ἕνωσιν ἀληθῆ λέγεσθαι, ἀλλ' ἢ μόνον τὴν κατὰ χάριν καὶ μετοχὴν τοῦ θεοῦ, ὡς ἐν τοῖς ἁγίοις πάλιν ἐγένετο.

Εἰ δὲ ἐνταῦθα τὴν ἐνοίκησιν ἕνωσιν εἶναι λέγουσιν, οὐκ ἐν τῇ παρθένῳ, ἀλλὰ μετὰ τὸ τεχθῆναι ἐξ αὐτῆς, φέρε καὶ οὕτω τὸ λεγόμενον ἐξετάσωμεν· εἰ διὰ τοῦτο εἰς τὸ τοῦ λόγου πρόσωπον τὸ χρίσμα εἰρῆσθαι λέγουσιν, διὰ τὸ συνεῖναι, καὶ ἡνῶσθαι, ὡς αὐτοί φασι, τῷ ἀνθρώπῳ τὸν λόγον, πάντως ὅτι μεθ' ἕνωσιν αὐτὸν κεχρίσθαι λέγειν ἐξ ἀνάγκης ἀπαιτηθήσονται· τὸν γὰρ θεὸν λόγον ὁ προφήτης, ἔτι γε μὴν καὶ ὁ ἀπόστολος θεολογήσας, αὐτῷ καὶ τὸ χρίσμα φανερῶς ἀνέθηκεν· εἰ τοίνυν διὰ τὴν ἕνωσιν, καὶ τὸ συνεῖναι αὐτὸν τῷ ἀνθρώπῳ, τὸ τοῦ ἀνθρώπου τῷ λόγῳ προσάπτουσιν οἱ ἅγιοι, μετὰ τὴν ἕνωσιν αὐτὸ τὸ χρίσμα γεγενῆσθαι πάντως ὁμολογήσουσιν· εἰ δὲ μετὰ τὴν ἕνωσιν κέχρισται, τὴν δὲ ἕνωσιν οὐ βούλονται λέγειν πρὶν ἐκ τῆς παρθένου τεχθῆναι, οὐδὲ χριστοτόκος οὐκέτι πρὸς αὐτῶν ἡ παρθένος ὁμολογηθήσεται· εἰ γὰρ χριστοτόκος, πάντως ὅτι καὶ θεοτόκος· εἰ δὲ οὐ θεοτόκος, οὐδὲ χριστοτόκος· εἰ γὰρ τὸ χρίσμα μετὰ τὴν ἕνωσιν, καὶ διὰ τοῦτο εἰς τὸ τοῦ λόγου πρόσωπον τοῦτο λέγεται, τὴν δὲ ἕνωσιν μετὰ τὴν ἐκ τῆς παρθένου γέννησιν γεγενῆσθαι λέγουσιν, οὐδὲ χριστοτόκος οὐκέτι εὑρεθήσεται· εἰ δὲ χριστοτόκος, καὶ θεοτόκος· τοῦ γὰρ χρίσματος πρὸ τῆς ἑνώσεως μὴ δυναμένου νοεῖσθαι, εἰ χριστοτόκος ἡ παρθένος, ἐν αὐτῇ δὴ τῆς ἑνώσεως γενομένης, οὐκέτι ἄνθρωπον, ὡς αὐτοί φασιν, ἀλλ' ἑνωθέντα τῷ λόγῳ γεννήσασα, θεοτόκος δικαίως ἂν λέγοιτο, εἴ γε, καθὼς ἔμπροσθεν εἴρηται, τὴν ἕνωσιν ἀληθῆ, καὶ οὐ καθάπερ ἐν τοῖς ἁγίοις λέγουσιν· τοῦτο δὲ φαμὲν, ὅτι οὐ δυνατὸν ἕνωσιν ἀληθῆ λέγειν μετὰ τὴν γέννησιν· ἡμεῖς δὲ οὐκ ἄνθρωπον θεῷ ἑνωθέντα, ἀλλὰ θεὸν τὰ ἀνθρώπινα προσλαβόμενον οἴδαμεν τὸν Χριστόν· λέγω δὴ σῶμα, καὶ ψυχὴν, καὶ νοῦν τελείως χωρὶς ἁμαρτίας ἑνοῦται τῇ ἁγίᾳ παρθένῳ· διὰ

τοῦτο κἂν ἄνθρωπον ἀκούῃς τὸν Χριστὸν ὀνομαζόμενον, μὴ ἐπιλανθάνου ὅτι καὶ θεὸς γέγονεν· οὕτως ἐπιστάμενος ὁ μακάριος Παῦλος· ποτὲ δὲ θεὸν ἐκήρυττεν· μνημόνευε γὰρ, φησὶν, Ἰησοῦν Χριστὸν ἐγεγερμένον ἐκ νεκρῶν, καὶ ἐκ σπέρματος Δαβὶδ· καὶ πάλιν· ὁ δὲ θεὸς καὶ τὸν κύριον ἤγειρεν, καὶ ἡμᾶς ἐξεγείρει διὰ τῆς δυνάμεως αὐτοῦ. Ἀκούεις τὸν ἐκ σπέρματος Δαβὶδ, καὶ ἐκ νεκρῶν ἐγεγερμένον σαφῶς κηρυττόμενον;

Ὅτε τοίνυν ἐναργῶς ἀποδέδεικται οὐκ ἄνθρωπος, ὡς ἐκεῖνοι νομίζουσιν, ἀλλ' ὁ ἀΐδιος τοῦ Θεοῦ λόγος ἐνανθρωπήσας ἐστὶν ὁ ἐκ τῆς παρθένου προελθὼν, μεταγινωσκέτωσαν οἱ πεπλανημένοι, καὶ τῆς ἰουδαϊκῆς ἀνοίας ληγέτωσαν· ἐὰν γὰρ μὴ ἐπιστραφῶσιν, τὴν ῥομφαίαν αὐτοῦ καθ' αὐτῶν στιλβώσει ὁ κύριος· ὅτι γὰρ οὐκ εἰς τέλος αὐτῶν ἀνέξεται βλασφημούντων, καὶ διὰ μακροθυμίαν ἔτι καὶ νῦν ἀνέχεται βλασφημούντων, ἄκουε τί φησὶν διὰ τοῦ μακαρίου προφήτου, τὴν ἐκ τῆς ἀνοχῆς πρὸς τοὺς ἐπιμένοντας τῇ κακίᾳ ἐπαγομένην ἐκδίκησιν δηλῶν· ἐσιώπησα, φησὶ, μὴ καὶ ἀεὶ σιωπήσομαι, καὶ ἀνέξομαι; ἐκαρτέρησα ὡς ἡ τίκτουσα, ἐκστήσω καὶ ξηρανῶ ἅμα, καὶ ἐρημώσω ὄρη, καὶ βουνοὺς, καὶ πάντα τὸν χόρτον αὐτῶν ξηρανῶ, καὶ θήσω ποταμοὺς εἰς νήσους, καὶ ἕλη ξηρανῶ· οὐδὲν δὲ ἧττον καὶ ὁ θειότατος ὑμνῳδὸς, ταχεῖαν τῶν ἀσεβῶν διδάσκει τὴν ἀπώλειαν, κἂν πρὸς ὀλίγον διὰ μακροθυμίαν θεοῦ ἰσχύσωσιν· ἴδον γὰρ ἀσεβῆ ὑπερυψούμενον, καὶ ἐπαιρόμενον ὡς τὰς κέδρους τοῦ Λιβάνου, καὶ παρῆλθον καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ.

Ταῦτα γὰρ καὶ τὰ τοιαῦτα κοινὰ πάντων ἐστὶν, ὅσοι τῆς εὐσεβείας διασκορπίζειν ἐπιχειροῦσι τὸ ποίμνιον, ὥσπερ οὖν καὶ τῶν προειρημένων αἱρέσεων τὸ τέλος ἐπέδειξεν· τί γὰρ ὤνησεν τῆς Ἀρείου δυσσεβείας ἡ πλάνη; τί δὲ ἡ Εὐνομίου, καὶ τῶν τὸ πνεῦμα τὸ ἅγιον βλασφημούντων, καὶ τοῦ σαμοσατέως Παύλου, καὶ τοῦ καλουμένου Ἀπολιναρίου ἡ παραφροσύνη; πάντες γὰρ οὗτοι καὶ ἐν τῷ παρόντι ἐπονείδιστον τέλος ἐσχήκασιν, καὶ τῶν ἐκκλησιαστικῶν περιβόλων ἐξώσθησαν, καὶ τῆς ἐν οὐρανοῖς δὲ τῶν πρωτοτόκων ἐκ-

κλησίας ἔξω ῥιφήσονται· ἐξηλείφθησαν γὰρ ἐκ βίβλου ζώντων, καὶ μετὰ δικαίων οὐκ ἐγγραφήσονται· τὸ δὲ αὐτὸ καὶ τούτους ἐκδέξεται τέλος· εἰ μὴ ἄρα θᾶττον τῆς ἀνοίας λαβόντες αἴσθησιν, ἐπανελθεῖν ὅθεν ἐξέπεσαν σπουδάσωσιν, καὶ μάλιστα τοὺς ἀρχηγοὺς τῆς κακοφροσύνης γενομένους· ἀκούσονται γὰρ μονονουχὶ καὶ τούτων ἕκαστος παρὰ τοῦ σωτῆρος· ὃν τρόπον ἱμάτιον ἐν αἵματι πεφυρμένον οὐκ ἔσται καθαρὸν, οὕτως οὐδὲ σὺ ἔσῃ καθαρὸς· διότι τὴν γῆν μου ἀπόλεσας, καὶ τὸν λαόν μου ἀπέκτεινας, οὐ μὴ μείνῃς εἰς τὸν αἰῶνα χρόνον· ἡμεῖς δὲ οἱ τὴν ἑαυτῶν πίστιν ἐπὶ τὴν ἀῤῥαγῆ πέτραν οἰκοδομήσαντες βεβαίαν, μέχρι τέλους τὴν εὐσέβειαν διαφυλάξωμεν, μηδαμῶς ὑπὸ τῶν ἐναντίων θορυβούμενοι, ἀλλὰ τὴν εἰς τὸν κύριον ἀγάπην, ὅπλον ἀνίκητον ἔχοντες, ἐν αὐτῷ καυχώμεθα διὰ παντὸς, λέγοντες τὰ τοῦ προφήτου ῥήματα, καὶ γελῶντες τῶν ἐναντίων τὴν εὐτέλειαν· μεθ' ἡμῶν ὁ θεὸς, γνῶτε ἔθνη καὶ ἡττᾶσθε, ἰσχυκότες ἡττᾶσθε· ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε· καὶ ἐὰν βουλεύσησθε, βουλὴν διασκεδάσει κύριος· καὶ λόγον ὃν ἐὰν λαλήσητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν κύριος ὁ θεός.

Ἀλλ' ἰδοὺ, φασὶν, ὁ ἀπόστολος φανερῶς αὐτὸν ἄνθρωπον ὡμολόγησεν· Τιμοθέῳ γὰρ ἐπιστέλλων οὕτω φησὶν, ἄνθρωπος Χριστὸς Ἰησοῦς· τοῦτο δὲ λέγοντες, τῶν ἀκεραιοτέρων δοκοῦσιν ταράττειν τὸν νοῦν· εἰ γάρ τις συνέτως τῷ ἀποστολικῷ ἐπιβάλλει ῥητῷ, ἐκ τούτου μάλιστα τοῦ ῥητοῦ, τῆς ἀσεβείας αὐτῶν καταψηφίσεται· ἀλλὰ μὴ οὕτως ἀκρωτηριάζωμεν τὴν λέξιν, ἀλλ' ὀλίγον τῶν ἔμπροσθεν ἐπιμνησθέντες, ὀρθὴν τῆς οἰκονομίας ἐντεῦθεν τὴν ὁμολογίαν νοῆσαι δυνησόμεθα· τί οὖν φησὶν ὁ μακάριος Παῦλος; εἷς θεὸς, φησὶν, περὶ τοῦ πατρὸς· καὶ εἴη περὶ τοῦ υἱοῦ, εἷς καὶ μεσίτης θεοῦ καὶ ἀνθρώπων· εἰ γὰρ, φησὶν, καὶ γέγονεν ἄνθρωπος, ἀλλ' οὐ διὰ τοῦτο δύο αὐτὸν ὑποπτεύειν ὀφείλομεν· ὥσπερ γὰρ θεὸς ἦν πρὸ τῆς ἐπιδημίας ὁ λόγος, οὕτω καὶ γενόμενος ἄνθρωπος, καὶ μεσιτεύσας, καὶ τῇ ἀνθρώπου φύσει εἷς πάλιν ἐστίν· διὰ γὰρ τοῦτο μεσίτην αὐτὸν εἴρηκε θεοῦ καὶ ἀνθρώπων, ὡς ἐξ

ἀμφοτέρων τῶν οὐσιῶν ἕνα ὄντα· τὸ γὰρ τινῶν μεσιτεύων, ἀμφοτέρων ἔχεται πάντως· ἔστι τοίνυν μεσίτης θεοῦ, διὰ τὸ τῆς αὐτῆς οὐσίας ὑπάρχειν τῷ πατρί· ἔστι δὲ πάλιν καὶ ἀνθρώπων μεσίτης, διὰ τὸ καὶ τῆς ἀνθρωπείας μετεσχηκέναι φύσεως τελείως χωρὶς ἁμαρτίας· ἄνθρωπον οὖν αὐτὸν ὅταν λέγει Χριστὸν Ἰησοῦν, μὴ διὰ τοῦτο σκανδαλιζέσθωσαν, ἀλλ' ἐννοείτωσαν αὐτὸν καὶ κύριον καὶ θεὸν ὀνομαζόμενον μετὰ τοῦ καὶ Χριστὸν πάλιν λέγειν καὶ Ἰησοῦν· ἀκουέτωσαν γὰρ αὐτοῦ τοῦ ἀποστόλου τοῦτο φανερῶς οὕτω κηρύττοντος· προσδεχόμενοι, φησὶ, τὴν μακαρίαν ἐλπίδα, καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν περὶ ἡμῶν.

Ὁρᾷς ὅπως ἐκεῖ μὲν ἄνθρωπον Χριστὸν Ἰησοῦν λέγει τὸν ὑπὲρ πάντων ἑαυτὸν δεδωκότα, ἐνταῦθα δὲ μέγαν θεὸν Χριστὸν Ἰησοῦν, τὸν δόντα πάλιν ἑαυτὸν ὑπὲρ ἡμῶν; διπλῇ γὰρ ἐνταῦθα κατ' αὐτῶν, μᾶλλον δὲ ὑπὲρ αὐτῶν, εἰ ἐθέλοιεν μεταγινώσκειν, γέγονεν ἡ ἀπόδειξις, διὰ τὸ λέγειν καὶ θεὸν καὶ κύριον Ἰησοῦν, ὃν ἐκεῖσε ἄνθρωπον εἴρηκε, καὶ διὰ τοῦ ἐν ἀμφοτέροις ἑαυτὸν ὑπὲρ ἡμῶν δεδωκότα σημαίνειν· ἄνθρωπος γὰρ, φησὶν, Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ὑπὲρ πάντων ἀντίλυτρον· καὶ πάλιν προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα, καὶ τὴν ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου θεοῦ, καὶ σωτῆρος ἡμῶν Ἰησοῦν Χριστοῦ, ὃς ἔδωκεν ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ πάσης ἁμαρτίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν περιούσιον, ζηλωτὴν καλῶν ἔργων· εἰ δὲ ἄνθρωπος κατ' ἐκείνους μόνον Χριστὸς Ἰησοῦς, ὁ δοὺς ἑαυτὸν ὑπὲρ ἡμῶν, καὶ περιποιησάμενος ἡμᾶς ἑαυτῷ λαὸν περιούσιον, ἀνθρώπῳ ἄρα λατρεύομεν παραπλησίως τοῖς ἔθνεσιν, καὶ τῇ κτίσει λοιπὸν τὴν δεσποτικὴν αὐθεντίαν ἀποδιδόαμεν· ἀλλ' οὐκ ἔστιν οὕτως, μὴ γένοιτο, ἀλλὰ κύριον καὶ θεὸν ἐπιγινώσκομεν τὸν Χριστόν· γέγονε μὲν γὰρ ἄνθρωπος δι' ἡμᾶς ὁ τοῦ θεοῦ λόγος μετασχὼν τῆς ἀνθρωπείας φύσεως, καὶ γεγέννηται διὰ φιλανθρωπίαν ἄφατον μετὰ ταύτης ἐκ τῆς ἁγίας καὶ ἀπειρογάμου παρθένου· ἀλλ' ἦν καὶ οὕτω κατὰ φύσιν θεὸς καὶ τοῦ θεοῦ

υἱός· διὰ ταύτην τοιγαροῦν τὴν αἰτίαν καλεῖται καὶ ἄνθρωπος, καλεῖται δὲ καὶ θεός, εἷς καὶ ὁ αὐτὸς ὑπάρχων ἐν ἑκατέρᾳ προσηγορίᾳ Χριστός.

Ὅτι γὰρ οὐκ ἄνθρωπον, ὡς οὗτοι μυθολογοῦσιν, ὁ Παῦλος ἐκήρυττε τὸν Χριστόν, ἄκουε Κορινθίοις ἐπιστέλλοντος αὐτοῦ καὶ λέγοντος· οὐ γὰρ ἑαυτοὺς κηρύσσομεν, ἀλλὰ Ἰησοῦν Χριστὸν κύριον, ἑαυτοὺς δὲ δούλους ὑμῶν διὰ Ἰησοῦν. Ὁρᾷς τῆς ἀποστολικῆς γνώμης τὸν ὅρον; Ἰησοῦν Χριστὸν φησὶν κύριον, ἑαυτοὺς δὲ δούλους κηρύσσομεν. Ῥωμαίοις δὲ πάλιν ἐπιστέλλων οὕτω φησίν· ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας· ἀμήν. Εἰ δὲ ἄνθρωπον ἠπίστατο τὸν Χριστόν, ἔδει λέγειν ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα, ἐν ᾧ ὁ ἐπὶ πάντων θεός· νῦν δὲ τοῦτο μὲν οὐκ εἴρηκε, θεὸν δὲ τὸν Χριστὸν ἐπὶ πάντων μεγαλοφώνως ἀπέφηνεν. Οὐ μὴν δέ, ἀλλά γε κἀκεῖνο διασκεψώμεθα, ὡς εἰ μὴ θεὸν ἅμα καὶ ἄνθρωπον ἠπίστατο τὸν Χριστόν, οὐκ ἂν ἔλεγεν τὸ κατὰ σάρκα· τοῦτο γὰρ φανερῶς ἐπὶ τοῦ μὴ μόνον ἀνθρώπου, ἀλλὰ καὶ καθ' ἕτερόν τι τὴν οὐσίαν ὄντος λέγεται· ὥσπερ οὖν καὶ ἐπήγαγεν, ὁ ὢν ἐπὶ πάντων θεός· διπλῆν γὰρ ἐνταῦθα τὴν περὶ τοῦ σωτῆρος ἡμῶν ὁμολογίαν παραδέδωκεν, καὶ τὸ κατὰ σάρκα ἐπιδείξας, καὶ θεὸν ἀνακηρύξας· ὅνπερ γὰρ τρόπον ὁ ἐπὶ γῆς βασιλεύς, εἴ ποτε ἐν ὑπάτου σχήματι προελθεῖν βουληθείη, οὐ διὰ τοῦτο τοῦ εἶναι βασιλεὺς πέπαυται, οὔτε μὴν τὴν προτέραν αὐθεντίαν ἀπώλεσεν, ἀλλ' εἷς καὶ ὁ αὐτὸς ὑπάρχει πρὸς τῇ βασιλείᾳ καὶ τὸ τῆς ὑπατείας ἔχων· κἂν εἴτις ὀνομάσει βασιλέα, οἶδεν ὡς αὐτός ἐστιν ὁ καὶ τὸ τοῦ ὑπάτου σχῆμα περιβαλλόμενος· καὶ πάλιν τε εἰ ὕπατον τὸν αὐτὸν ὀνομάσοι, τὸν αὐτὸν οἶδεν καὶ βασιλέα ὑπάρχοντα· οὕτως ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς ἦν μὲν ἀεὶ τοῦ θεοῦ υἱὸς θεὸς ὑπάρχων ἀληθινός, προσλαβὼν δὲ ἐν ὑστέροις χρόνοις καὶ τὸ ἀνθρώπινον, εἷς καὶ ὁ αὐτὸς ὑπάρχει, κἂν θεὸς λέγηται, κἂν ἄνθρωπος, κἂν Ἰησοῦς.

Τούτων δὲ οὕτως ἐχόντων, φέρε καὶ τὴν κυριακὴν εἰς μέ-

σον φωνὴν ἀγάγωμεν, ἐφ' ἣν μάλισῖα καὶ θρασύτερον ἡμῖν ἐφίσῖανῖαι λέγονῖες, ὡς αὐτὸς ἐν τοῖς εὐαγγελικοῖς κηρύγμασιν ἄνθρωπον ἑαυῖὸν ὡμολόγησεν λέγων· τί με ζητεῖτε ἀποκῖεῖναι, ἄνθρωπον, ὅς τὴν ἀλήθειαν ὑμῖν λελάληκα; εἰ δέ τις φιλαληθῶς τοῖς εὐαγγελικοῖς ἐπιβάλλει χωρίοις, ἔνθα τοῦτο λελάληκεν ὁ σωτὴρ, σφόδρα καταγνώσεται τῆς κακοτέχνου γνώμης αὐτῶν, καὶ φιλεγκλήμονας δικαίως ἀποκαλέσει καὶ συκοφάντας· τοσαῦτα γὰρ λελάληκεν πρὸ ταύτης τῆς λέξεως, θεὸν ἑαυτὸν ἀποφαίνων, καὶ θεοῦ υἱὸν, ὡς καὶ αὐτοὺς τότε τοὺς ἰουδαίους, ἐπείπερ ἐτύφλωττον τῆς διανοίας τὸ ὄμμα, διὰ τοῦτο μάλιστα βούλεσθαι αὐτὸν ἀναιρεῖν· καὶ πάντα ἐκεῖνα σιωπῇ παραδιδόντες, ταύτην ἁρπάζουσι τὴν λέξιν, ὅμοιόν τι ποιοῦντες τοῖς τότε φαρισαίοις· κἀκεῖνοι γὰρ διδάσκοντι τῷ σωτῆρι προσέμενον, οὐ πιστεύειν ἐθέλοντες καὶ διδάσκεσθαι, ἀλλὰ θηρεῦσαί τι ἐκ τοῦ στόματος αὐτοῦ βουλόμενοι, ὡς ὁ εὐαγγελιστὴς ἱστορεῖ· ὥσπερ οὖν καὶ οὗτοι νῦν ἀναγινώσκουσιν, μᾶλλον δὲ περιεργάζονῖαι ῖὰς θείας γραφὰς, ἵνα τί κατηγορεῖν εὕρωσιν τοῦ τὴν ψυχὴν ὑπὲρ αὐτῶν τεθεικότος.

Τί δὲ ἐν τοῖς πρὸ ταύτης τῆς φωνῆς ἔλεγεν, κατανοήσωμεν· ὁ πατήρ μου, φησὶν, ἕως ἄρτι ἐργάζεται, κἀγὼ ἐργάζομαι· καὶ πατέρα ἴδιον ἔλεγεν τὸν θεὸν, ἴσον ἑαυτὸν ποιῶν τῷ θεῷ, τὰ αὐτὰ τῷ πατρὶ παραπλησίως δημιουργοῦντα· ἃ γὰρ ἂν ἐκεῖνος ποιεῖ, ταῦτα καὶ ὁ υἱὸς ὁμοίως ποιεῖ· καὶ ὅτι τὴν κρίσιν αὐτῷ πᾶσαν δέδωκεν ὁ παῖὴρ, ἵνα πάνῖες τιμῶσι τὸν υἱὸν καθὼς τιμῶσι τὸν πατέρα· καὶ ἔρχεται ὥρα, καὶ νῦν ἐστὶν ὅτε οἱ νεκροὶ ἀκούσωσι τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ οἱ ἀκούσαντες ζήσωσιν· εἶτα ἵνα μὴ τὰ θεοπρεπῆ ταῦτα ἀκούοντες σκανδαλίζωνῖαι διὰ τὴν σάρκα, ὅτι ἄνθρωπος ὁρώμενος τοιαῦτα ἐφθέγγεῖο, ἑξῆς ἐπάγει μεῖ' ὀλίγα, καὶ φησὶν, ὅτι υἱὸς ἀνθρώπου ἐστὶν· μὴ θαυμάζετε τοῦτο· καὶ γὰρ καὶ ταύτης τῆς εἰρημένης φωνῆς, ὅτι οἱ ἀκούσαντες ζήσωσιν, ἔρχεται ὥρα ὅτε καὶ πάντες οἱ ἐν τοῖς μνημείοις ἀκούσονται, καὶ πορεύσονται οἱ τὰ

ἀγαθὰ ποιήσαντες εἰς ἀνάστασιν ζωῆς, οἱ δὲ τὰ φαῦλα πράξαντες εἰς ἀνάστασιν κρίσεως· τὸ μὲν γὰρ πρότερον εἰρημένον, ὅτι ἔρχεται ὥρα, καὶ νῦν ἐστιν· καὶ τὸ οἱ ἀκούσαντες ζήσονται, περὶ τῶν κατὰ τὸν καιρὸν ἐκεῖνον ἀναστάντων νεκρῶν εἰρῆσθαι· τὸ δὲ πάντες οἱ ἐν τοῖς μνημείοις, τὴν ἀναστάσιμον τῆς ἐνδόξου παρουσίας αὐτοῦ σημαίνειν ἡμέραν· καὶ μεθ' ὀλίγα δὲ πάλιν φησίν· ἐγώ εἰμι ὁ ἄρτος τῆς ζωῆς· ἀλλὰ ταῦτα πάντα ὥσπερ οὐκ ἀκούοντες, μᾶλλον δὲ ἐθελοκωφοῦντες παραπέμπονται, ταύτην δὲ τὴν φωνὴν τὴν λέγουσαν, νῦν δὲ ζητεῖτέ με ἀποκτεῖναι ἄνθρωπον ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα, περιφέρουσιν πρὸς τὸ τῶν ἀκεραιοτέρων διαταράττειν τὸν νοῦν· ἐχρῆν δὲ αὐτοὺς, εἴπερ ἦσαν ὀρθοὶ, τοῦτο λογίζεσθαι, ὅτι περ ὁ τὰ προειρημένα λαλήσας, αὐτὸς καὶ ταύτην εἴρηκε τὴν φωνὴν, καὶ μὴ διὰ ταύτην τῶν τοσούτων ὥσπερ ἐπιλανθανομένους σκανδαλίζεσθαι. Κἀκεῖνοι γὰρ ἄνθρωπον ὁρῶντες, καὶ τὰς θεοπρεπεῖς φωνὰς ἀκούειν οὐκ ἀνεχόμενοι, ἔλεγον οὐχ οὗτος ἐστὶν ὁ υἱὸς Ἰωσὴφ, οὗ ἡμεῖς οἴδαμεν τὸν πατέρα, καὶ τὴν μητέρα; καὶ πάλιν αὐτῷ προσῆεσαν λέγοντες, τίνα σεαυτὸν ποιεῖς; καὶ πάλιν πεντήκοντα ἔτη οὔπω ἔχεις, καὶ Ἀβραὰμ γινώσκεις; καὶ ἐχρῆν μὲν τοῖς ἤδη προειρημένοις ἀρκεῖσθαι, καὶ μηδὲν πλέον ἐπιζητεῖν· οἱ γὰρ λογισμὸν ὀρθὸν ἔχειν σπουδάζοντες περὶ τὴν τῶν θείων γραφῶν ἀκρόασιν εὐγνωμόνως λέξουσιν, ὡς οὐδὲν ἄτοπον εἴη θεὸν ὁμοῦ καὶ ἄνθρωπον ὄντα, ὅτε λελάληκεν, ποτὲ μὲν θεὸν, ποτὲ δὲ ἄνθρωπον ὀνομάζεσθαι· οὐδαμῶς ἑκατέρας προσηγορίας τὴν ἑτέραν ἀθετούσης.

Ἐπειδὴ δὲ ἔνεστι καὶ ἑτέρωθεν τοῦτο θεωρεῖσθαι, ὡς οὐκ ἄνθρωπος νοεῖσθαι διὰ τοῦτο ὀφείλει κατὰ τὴν τούτων ὑπόνοιαν· μετὰ τὸ πρᾶξαι τοὺς ἰουδαίους τοῦτο, ὅπερ ἐνταῦθα αὐτοὺς ἐμέμφετο ὁ κύριος, λέγω δὴ τὸ σωτήριον πάθος, εἰ ἄρα ὡς ἄνθρωπον ἀποκτείναντες κατεκρίθησαν· τότε γὰρ ἂν δυνηθείη λόγον ἔχειν τὸ ὑπ' αὐτῶν λεγόμενον· εἰ δὲ ὡς κατὰ δεσπότου καὶ κυρίου τολμήσαντες κατεδικάσθησαν, δῆλον ὡς ματαίαν ὑπόνοιαν ἑαυτοῖς ἐπλάσαντο ἄνθρωπον νομίσαντες εἶναι, κἂν ἐνοικεῖν εἰς αὐτὸν τὸν

λόγον λέγωσιν. Ὁ μὲν οὖν μακάριος Παῦλος περὶ τῶν σταυρωσάντων διαλεγόμενος κυριοκτόνους αὐτοὺς ἐναργῶς παρίστησιν αὐταῖς λέξεσιν γράφων οὕτως· εἰ γὰρ ἔγνωσαν, οὐκ ἂν τὸν κύριον τῆς δόξης ἐσταύρωσαν. Καὶ αὐτὸς δὲ κύριος ἐν τῇ τοῦ ἀμπελῶνος παραβολῇ, ἀπεσταλκέναι φησὶ τὸν οἰκοδεσπότην τοὺς δούλους αὐτοῦ πρὸς τοὺς γεωργούς, καὶ ὃν μὲν ἔδειραν, φησὶν, ὃν δὲ ἀπέκτειναν, ὃν ἐλιθοβόλησαν, οἱ γεωργοὶ δηλονότι· ὕστερον δὲ ἀπεσταλκέναι φησὶν αὐτὸν τὸν υἱὸν, ὃν οἱ γεωργοὶ θεασάμενοι εἶπον πρὸς ἑαυτούς· οὗτος ἐστὶν ὁ κληρονόμος, δεῦτε ἀποκτείνωμεν αὐτὸν, καὶ σχῶμεν αὐτοῦ τὴν κληρονομίαν· καὶ λαβόντες αὐτὸν ἐξέβαλον ἔξω τοῦ ἀμπελῶνος, καὶ ἀπέκτειναν· εἰ τοίνυν ὁ μὲν ἀπόστολος κύριον τῆς δόξης τὸν ἐσταυρωμένον ὁμολογεῖ, αὐτὸς δὲ ὁ σωτὴρ τοὺς μὲν προφήτας δούλους ἀπεσταλμένους διδάσκει, ἑαυτὸν δὲ τοῦ δεσπότου τῶν δούλων υἱὸν, τίς ἔτι τολμήσει λέγειν ὡς ἄνθρωπος ἦν ὁ λέγων, νῦν δὲ ζητεῖτε με ἀποκτεῖναι, καὶ οὐχὶ μᾶλλον Θεὸς ἐνηνθρωπηκώς; καὶ μάλισθ' ὅταν καὶ τὰ θεοπρεπῆ ἔργα τῇ ἀνθρώπου προσηγορίᾳ λεγόμενα ἀκούῃ μέλλοντα γίνεσθαι· ἔρχεται γὰρ ὥρα, καὶ νῦν ἐστὶν ὅτε οἱ νεκροὶ ἀκούσουσιν τῆς φωνῆς τοῦ υἱοῦ τοῦ ἀνθρώπου, καὶ οἱ ἀκούσαντες ζήσουσι· καὶ ὅταν ἔλθῃ, φησὶν, ὁ υἱὸς τοῦ ἀνθρώπου ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ πάντες οἱ ἄγγελοι μετ' αὐτοῦ, τότε καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, τὴν δικαίαν ἅπασιν ἐπιφέρων κρίσιν· καὶ οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ υἱὸς τοῦ ἀνθρώπου.

Ἀκούεις φανερῶς τὸν Θεὸν λόγον τῇ ἀνθρώπου προσηγορίᾳ διὰ τὴν πρὸς τὴν σάρκα ἕνωσιν ὀνομαζόμενον; τίς γὰρ ἂν εἴη ἕτερος ἐκ τοῦ οὐρανοῦ καταβάς; μηκέτι οὖν σκανδαλίζου ὅταν λέγει νῦν δὲ ζητεῖτε με ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν ὑμῖν λελάληκα· ἀλλ' ἐννοῶν τὴν οἰκονομίαν, εὐσεβῶς δέχου τὸ λεγόμενον· ἐκ τούτων γὰρ τῆς ἑνώσεως μάλιστα ἡ οἰκονομία δείκνυται· καὶ ὅτι κἂν ἄνθρωπος ὀνομάζηται, οὐ δίχα τῆς θεότητος ὀφείλει καθ' ἑαυτὸν ἄνθρωπος ὀνομάζεσθαι· τίς γὰρ τολμήσει λέ-

γειν ἄνθρωπον, καὶ ταῦτα ἐνεργήσῃ τὰ προειρημένα; λέγω δὴ τὴν ἐξ οὐρανοῦ μέλλουσαν ἔσεσθαι παρουσίαν αὐτοῦ, καὶ τὴν περὶ πάντων δικαίαν κρίσιν τοῦ ἱεροψάλτου μάλιστα Δαβὶδ ᾄδοντος, σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ· εἰσάκουσον προσευχῆς· πρὸς σὲ πᾶσα σὰρξ ἥξει. Τί γὰρ ἕτερον ἐστὶν τοῦτο, ἀλλ' ἢ ὅπερ τὸν υἱὸν τοῦ ἀνθρώπου ποιήσειν μεμαθήκαμεν; Ἰδὲ γὰρ, φησὶν, καθίσει ἐπὶ θρόνου δόξης αὐτοῦ, καὶ συναχθήσονται ἔμπροσθεν αὐτοῦ πάντα τὰ ἔθνη. Ὁρᾷς ὅπως τοῦ Δαβὶδ ὡς πρὸς θεὸν λέγοντος, πρός σε πᾶσα σὰρξ ἥξει, εἰς τὸν υἱὸν τοῦ ἀνθρώπου τοῦτο πληροῦσθαι μέλλον ἀποδέδεικται; Θεὸς οὖν ἐστὶν ἄρα ἐνανθρωπήσας ὁ ἐκ Μαρίας τεχθεὶς, τῶν θείων ἡμῖν γραφῶν τοῦτο διὰ πολλῶν ἀποδείξεων ἐναργῶς ἐμφαινουσῶν· Θεοτόκος δὲ πάντως καὶ αὕτη ἡ καλλιπάρθενος, κἂν οὗτοι μὴ βούλωνται· εἰ γὰρ ἄνθρωπος ἦν ὁ ἐξ αὐτῆς προελθὼν Ἰησοῦς Χριστὸς, πῶς ὁ Παῦλος Γαλάταις ἐπιστέλλων ἔγραφε, Παῦλος ἀπόστολος, οὐκ ἀπ' ἀνθρώπων, οὐδὲ δι' ἀνθρώπου, ἀλλὰ διὰ Ἰησοῦ Χριστοῦ; δῆλον ὡς οὐκ ἄνθρωπος μόνον, ἀλλὰ Θεὸς ἐνηνθρωπηκὼς ἐστίν· μὴ τοίνυν σκανδαλιζέσθωσαν ἐπὶ ταῖς τοιαύταις φωναῖς οἱ ἀπαίδευτοι, ἀλλὰ διδασκέσθωσαν τοῦ θείου μυστηρίου τὴν οἰκονομίαν, καὶ προσκυνείτωσαν λοιπὸν τὸν Χριστὸν μετὰ τῶν ἀγγέλων καὶ αὐτοί· ὅταν γὰρ, φησὶν, εἰσαγάγῃ τὸν πρωτότοκον εἰς τὴν οἰκουμένην, λέγει, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι θεοῦ, καὶ ἐν τῷ ὀνόματι δὲ Ἰησοῦ Χριστοῦ πᾶν γόνυ κάμψει ἐπουρανίων καὶ ἐπιγείων καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσεται, ὅτι κύριος Ἰησοῦς Χριστὸς εἰς δόξαν θεοῦ πατρός· μνημονευέτωσαν Χριστὸν Ἰησοῦν κύριον ὁμολογούμενον, καὶ μὴ ταραττέσθωσαν ὅταν ἄνθρωπον διὰ τὴν οἰκονομίαν ἀκούωσιν.

Οὕτω νοείτωσαν καὶ τὰ διά τινα χρεῖαν ἢ οἰκονομίαν περὶ αὐτοῦ εἰρημένα· οἷον ἐστὶν καὶ τὸ ὑπὸ Πέτρου τοῦ ἀποστόλου λεγόμενον· Ἰησοῦν γάρ, φησιν, τὸν ναζωραῖον ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ Θεοῦ εἰς ὑμᾶς, πρὸς ἰουδαίους διαλεγόμενος ὁ

Πέτρος· χρὴ γὰρ τὸν τοῖς θείοις λόγοις ἐντυγχάνοντα, καὶ τὰ πρόσωπα θεωρεῖν, καὶ τὸν χρόνον, καὶ διὰ ποίαν αἰτίαν ἕκαστον εἴρηται, λογίζεσθαι· οὕτω γὰρ ἑκάστῳ ῥητῷ τὴν πρέπουσαν ἐφαρμόσαι θεωρίαν τίς τῇ τοῦ πνεύματος δυνήσεται χάριτι· ἐπεὶ οὖν καὶ τοῦτο τὸ ῥητὸν ἐκεῖνοι πρὸς σύστασιν τῆς αὐτῶν δυσσεβείας προβάλλονται, εἴδωμεν τί δήποτε ὁ Πέτρος οἰκονομῆσαι βουλόμενος, οὕτω λελάληκεν· μᾶλλον δὲ αὐτὸν ἐπερωτήσωμεν τὴν αἰτίαν ἀγγεῖλαι ἡμῖν, δι' ἣν οὕτω λέγειν προήχθη· τί φῂς, ὦ μακάριε; ἄνθρωπον κηρύττεις τὸν Χριστὸν, καὶ τούτῳ πιστεύειν ἡμᾶς ἀναπείθεις, ἵνα κτίσματι λατρεύειν διδάξῃς; καὶ μὴν ἕτερος ἀπόστολος μέμφεται τοὺς τῇ κτίσει λατρεύειν ἐθέλοντας· εἶτα πῶς αὐτὸς ἐρωτηθεὶς παρ' αὐτοῦ, τίνα ἐνόμιζες εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου, ἀπεκρίθης, σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος; καίτοι τότε ἡ πεῦσις τοῖς μὴ σφόδρα εἰδόσι τῆς οἰκονομίας τὸ μυστήριον τάχα καί τινα τοιαύτην ἔννοιαν ἐμποιεῖν ἠδύνατο, λέγω δὴ τὸ ἄνθρωπον αὐτὸν νομίσαι· τίνα γὰρ, ἔλεγεν, οἱ ἄνθρωποι λέγουσιν εἶναι τὸν υἱὸν τοῦ ἀνθρώπου; καὶ τότε μὲν υἱὸν ἀνθρώπου ἀκούων αὐτὸν, τὸν υἱὸν τοῦ θεοῦ αὐτὸν εἶναι ἔλεγες; νῦν δὲ μετὰ τὸ ἄλλων πολλῶν σημείων θεάσασθαι δύναμιν, μετὰ τὸ καὶ τῆς μακαρίας αὐτοῦ ἀναστάσεως, καὶ τῆς εἰς οὐρανὸν ἀνόδου ἐν πείρᾳ γενέσθαι, ἄνθρωπον αὐτὸν εἶναι λέγεις;

Καὶ μή τις οἰέσθω δύνασθαι καὶ τότε ὡς περὶ ἀνθρώπου λέγειν αὐτὸν, τὸ σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ θεοῦ τοῦ ζῶντος, ὡς καὶ τῶν ἁγίων χρηματιζόντων υἱῶν θεοῦ· οὐ γὰρ ἁπλῶς εἶπεν σὺ υἱὸς θεοῦ εἶ, ἀλλὰ σὺ εἶ ὁ υἱὸς τοῦ θεοῦ· ἡ γὰρ τοῦ ἄρθρου προσθήκη δείκνυσι τὸν ἕνα καὶ μόνον ἀληθεινὸν υἱὸν ὁμολογῆσαι τὸν Πέτρον· πρὸς ταῦτα δὲ τοιούτοις μονονουχὶ αὐτὸς ὁ μακάριος Πέτρος ἀπήντησεν ἂν ῥήμασιν· μὴ τοῦτο νομίσητέ με εἰρηκέναι· ὅτι περ ἄνθρωπος καθ' ἡμᾶς εἷς ἐστιν ὁ Χριστός· οὐ τοῦτο ἐστὶν ὅ φημι, πρᾶγμα δέ τι οἰκονομῶ θαυμαστὸν, παράδοξον· καὶ ποῖον τοῦτο ἐστὶ; τῇ καθόδῳ τοῦ πνεύματος περιηχηθεὶς τῶν ἰου-

δαίων ὁ δῆμος, συνέδραμεν πρὸς ἡμᾶς· εὑρὼν οὖν καιρὸν ἁλείας ἀνθρώπων εἶναι τότε, εἶτα φανερῶς αὐτοῖς καὶ ἀπ' εὐθείας οὐ δυνάμενον τὸν Χριστὸν Θεὸν ἀνακηρύττειν, ἐπείπερ αὐτὸν πρὸ ὀλίγου σταυρώσαντες ἦσαν, καὶ βαρὺ αὐτοῖς διὰ τοῦτο τὸ πρᾶγμα ἐφαίνετο, κρύπτω τὸ ἄγκιστρον τοῦ λόγου, καθάπερ ἐπὶ τῶν ἰχθύων τῇ τροφῇ, τοῖς ταπεινοτέροις τούτοις ῥήμασι, καὶ τὸν Ἰησοῦν ναζωραῖον ὀνομάζω, καὶ ἐσταυρωμένον, καὶ ὅτι ὁ Θεὸς ἤγειρεν αὐτὸν ἐκ νεκρῶν, καὶ οὕτω κεκαλυμμένος εἰσφέρω καὶ τὴν θεολογίαν αὐτοῦ, καὶ ταύτην μετά τινος τέχνης· τοὺς γὰρ Δαβὶδ αὐτοὺς ὑπομιμνήσκω λόγους, ἐπείπερ τὰ ἐκείνου μᾶλλον ἀνυπόπτως ἐδέχοντο, καὶ δι' ἐκείνων πάλιν τῇ τοῦ θεοῦ δυνάμει τὸ πᾶν ἀνατίθημι, ἵνα οὕτω κατὰ μικρὸν αὐτοὺς καταδέξασθαι ποιήσω τὸ σωτήριον κήρυγμα· οὗ δὴ γενομένου, καὶ εἰς κατάνυξιν ἐλθόντων αὐτῶν, φανερώτερόν πως αὐτὸν λοιπὸν θεὸν ἐπιδείξω διὰ τῆς τοῦ βαπτίσματος τούτου εἰς τὸ ὄνομα αὐτοῦ προστάξεως, ἄφεσιν ἁμαρτιῶν αὐτοῖς τούτου χαρίζεσθαι δυναμένου διδάξας.

Καὶ ὅρα σύνεσιν ἀποστολικήν· Ἰησοῦν φησὶν τὸν ναζωραῖον, ἄνδρα ἀποδεδειγμένον ἀπὸ τοῦ θεοῦ εἰς ὑμᾶς δυνάμεσι καὶ τέρασι καὶ σημείοις, οἷς ἐποίησεν δι' αὐτοῦ ὁ θεὸς ἐν μέσῳ ὑμῶν καὶ ἀπὸ θεοῦ ἀποδεδειγμένον λέγει, καὶ τὸν θεὸν ταῦτα δι' αὐτοῦ ἐνεργήσαντα, ἵνα τῇ τοῦ πατρὸς προσηγορίᾳ πείσῃ αὐτούς, καὶ αὐτὸν τὸν Ἰησοῦν καὶ τὰ ἔργα αὐτοῦ καταδέξασθαι, ὡς ἐκείνου δι' αὐτοῦ ταῦτα ποιοῦντος, λέγω δὴ τοῦ πατρός· οἷς ἐποίησεν γάρ, φησιν, δι' αὐτοῦ ὁ θεός· εἶτα τοῦ σταυροῦ μνημονεύσας, καὶ τὴν ἀνάστασιν εἰσφέρει, καὶ ταύτην ὡς παρὰ τοῦ πατρὸς πάλιν γεγενημένην, ἵνα διὰ τούτου πάλιν καὶ αὐτὴν αὐτοὺς καταδέξασθαι ποιήσῃ· καὶ λοιπὸν ὥσπερ κεκαλυμμένος αὐτοῖς καὶ τὴν θεολογίαν εἰσφέρει· εἰρηκὼς γάρ, ὃν ὁ θεὸς ἀνέστησεν λύσας τὰς ὠδῖνας τοῦ θανάτου, ἐπάγει· καθ' ὅτι οὐκ ἦν δυνατὸν κρατεῖσθαι αὐτὸν ὑπ' αὐτοῦ· οὐκέτι λοιπὸν ὡς περὶ ἀνθρώπου τοῦτο· εἰ γὰρ ἄνθρωπος ἦν, πάντως ὅτι καὶ κρατεῖσθαι ἠδύνατο ὑπὸ τοῦ θα-

νάτου· ἀλλὰ τοῦτο εἰρηκὼς, καταφεύγει ταχέως ἐπὶ τὴν προφητικὴν μαρτυρίαν, ἵνα μηκέτι ὡς παρ' αὐτοῦ, ἀλλὰ ὡς παρὰ τοῦ προφήτου μᾶλλον ἀκούοντες προθυμότερον δέξωνται τὸ λεγόμενον· καὶ φησίν· Δαβὶδ γὰρ λέγει εἰς αὐτόν· προορώμην τὸν κύριον ἐνώπιόν μου διὰ παντὸς, καὶ τὰ ἑξῆς. Ὅρα μεθ' ὅσης τέχνης αὐτοῖς τὴν κυριολογίαν εἰσήγαγεν· εἶτα τὴν μαρτυρίαν πληρώσας, πάλιν αὐτῶν ὥσπερ τὸν λογισμὸν καταστέλλων, ἐπειδήπερ φανερώτερον αὐτὸν ἐθεολόγει, ἐπὶ τὴν τοῦ πατρὸς πάλιν κατατρέχει προσηγορίαν, καὶ φησίν· ἀσφαλῶς οὖν γινωσκέτω πᾶς οἶκος Ἰσραὴλ ὅτι καὶ κύριον καὶ Χριστὸν ὁ Θεὸς ἐποίησε τοῦτον τὸν Ἰησοῦν ὃν ὑμεῖς ἐσταυρώσατε· καὶ αἰτησάντων αὐτῶν λοιπὸν ἐκείνων τί ποιῆσαι ὤφειλον, βαπτισθῆναι αὐτοῖς προσέταξεν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, καὶ ἄφεσιν ἁμαρτιῶν διὰ τούτου λαμβάνειν· τῇ τῶν ἁμαρτιῶν ἀφέσει τὴν κυριότητα αὐτοὺς ἐννοῆσαι ποιῶν· διὰ δὲ τοῦ λέγειν, ὁ Θεὸς ἐποίησεν, τὴν ἐκείνων ἀποκλείων ἐναντιλογίαν.

Ὅτι γὰρ πρόσφατον ἡμῖν κύριον ὁ πατὴρ οὐκ ἐποίησεν, οὐδένα οἶμαι τῶν εὐφρονούντων ἀντερεῖν· καὶ γὰρ οὐκ ὥς τινες ἀνοήτως εἰς τὴν τοῦ υἱοῦ θεότητα τὸ ῥητὸν ἐκλαμβάνουσιν, οὕτως εἴρηκεν· οὐ γὰρ περὶ τῆς ὑπάρξεως αὐτοῦ σκοπὸς ἦν τῷ ἀποστόλῳ διαλέγεσθαι, ἀλλὰ περὶ τῆς μετὰ τὴν ἀνάστασιν δόξης· τὸ οὖν κύριον αὐτὸν ἐποίησεν, ἀντὶ τοῦ κυριότητα καὶ Χριστοῦ δόξαν αὐτῷ δέδωκεν· οὐχ' ὅτι δόξαν ἐπίκτητον ἔλαβεν ὁ υἱὸς, ἀλλ' ἐκείνοις διὰ τὴν προειρημένην οἰκονομίαν οὕτως διαλεγόμενος, ὅτι οὕτω πιστεύειν εἰς αὐτὸν ὀφείλετε, ὡς Χριστῷ καὶ κυρίῳ προσιόντες· ὅτι γὰρ οὐκ ἄνθρωπος καθ' ἡμᾶς γεγεννημένος χωρὶς τῆς τοῦ λόγου ἑνώσεως Ἰησοῦς ὁ ναζωραῖος ὁ τὸ ἴδιον ὑπὲρ ἡμῶν αἷμα ἐκχεῖσθαι καταδεξάμενος, ἄκουε σαφῶς τοῦ ἀποστόλου Παύλου τοῖς Ἐφεσίων διδασκάλοις τοῦτο φανερῶς καθιστῶντος· προσέχετε γὰρ, φησι, ἑαυτοῖς καὶ παντὶ τῷ ποιμνίῳ, ἐν ᾧ ὑμᾶς τὸ πνεῦμα τὸ ἅγιον ἔθετο ἐπισκόπους, ποιμαίνειν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ αἵματος τοῦ ἰδίου·

ἀκούεις Θεὸν φανερῶς ὑπὸ τοῦ ἀποστόλου τὸν ἐσταυρωμένον κηρυττόμενον; ποιμαίνειν γάρ φησιν τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἣν περιεποιήσατο διὰ τοῦ αἵματος τοῦ ἰδίου· οὐχ' ὅτι τῇ φύσει τῆς θεότητος ἔπασχεν, ἀλλ' ὅτι τὰ τῆς σαρκὸς αὐτοῦ πάθη εἰς αὐτὸν ἀναφέρεται, διὰ τὸ μὴ ἀνθρώπου τινὸς εἶναι ταύτην, ἀλλ' αὐτοῦ τοῦ λόγου ἰδίαν σάρκα· εἰ τοίνυν θεοῦ αἷμα τὸ αἷμα λέγεται, δῆλον ὡς θεὸς ἦν σάρκα περικείμενος.

Εἰ δὲ ἐπιμένοιεν λέγοντες, ποῦ τῆς γραφῆς θεοτόκος ἡ παρθένος ὠνόμασται; ἀκουέτωσαν σαφῶς τοῦτο τοῦ ἀγγέλου τοῖς ποιμέσιν εὐαγγελιζομένου, καὶ λέγοντος, ὅτι ἐτέχθη ὑμῖν σήμερον σωτὴρ, ὅς ἐστιν Χριστὸς κύριος· οὐ λέγει δὲ ὃς ἔσται κύριος, ἢ ἐν ᾧ ὁ κύριος ἐνοικήσειν μέλλει, ἀλλ' ὃς ἐστὶν κύριος· ἰδοὺ τοίνυν κύριον φανερῶς τὸν τεχθέντα ὁ ἄγγελος εὐαγγελίζεται· εἶτα καὶ σημεῖον ὥσπερ αὐτοῖς τῆς τοῦ κυρίου θέας παρεχόμενος, εὑρήσετε, φησὶν, βρέφος ἐσπαργανωμένον, καὶ κείμενον ἐν φάτνῃ. Παραπλήσιά τε τῷ ἀγγέλῳ καὶ ὁ Πέτρος κηρύττων, ὅτε πρὸς τὸν Κορνήλιον εἰσῆλθεν ἔλεγεν· τὸν λόγον ἀπέστειλεν τοῖς υἱοῖς Ἰσραὴλ εὐαγγελιζόμενος εἰρήνην διὰ Ἰησοῦ Χριστοῦ· οὗτος ἐστὶ κύριος πάντων. Ὁρᾷς πῶς τὸν λόγον ἀντὶ τοῦ τὸ σωτήριον κήρυγμα διὰ Ἰησοῦ Χριστοῦ ἀπεστάλθαι φησί; Καὶ δεικνὺς αὐτοῖς τίς εἴη Ἰησοῦς Χριστὸς, οὗτος ἐστὶν, ἔφη, πάντων κύριος· ὁρᾷς τὸ βρέφος κύριον καὶ ὑπὸ τοῦ ἀγγέλου, καὶ ὑπὸ τοῦ Πέτρου; οὐκοῦν Θεοτόκος ἀναμφιβόλως ἡ τὸν κύριον γεννήσασα. Οὕτως αὐτὴν καὶ ἡ τοῦ μακαρίου Βαπτιστοῦ μήτηρ ὑπὸ πνεύματος ἁγίου κινουμένη προσηγόρευσεν· ἐπλήσθη γάρ, φησιν, ἡ Ἐλισάβετ πνεύματος ἁγίου, καὶ ἀνεβόησεν· εὐλογημένη σὺ ἐν γυναιξὶν, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου· καὶ πόθεν μοι τοῦτο, ἵνα ἡ μήτηρ τοῦ κυρίου μου ἔλθῃ πρός με; Τίς ἐπὶ τοσοῦτον μέμηνεν, ὡς μὴ βούλεσθαι μετὰ τῶν εὐαγγελίων θεοτόκον ἀποκαλεῖν τὴν ἁγίαν παρθένον; μὴ τοίνυν τῶν ἀκεραιοτέρων τὰς ἀκοὰς θορυβείτωσαν, παιδίον καὶ βρέφος ὀνομάζοντες, ἵνα μὴ καθ' ὀλίγον καὶ πᾶσαν αὐτοῦ τὴν ἐπιδημίαν ἀρνήσονται· ὠνόμασται γὰρ βρέφος ὑπὸ τοῦ ἀγγέλου, ἀλλ' ἅμα καὶ κύριος.

Μηδ' ἐν τούτῳ δὲ πάλιν ψιθυριζέτωσαν τὸ πάθος προβαλλόμενοι, καὶ τὴν ἀνάστασιν, καὶ ὅτι Θεὸς αὐτὸν ἤγειρεν· ἤδη μὲν γὰρ καὶ ἐν τοῖς προλαβοῦσιν ἀποδέδεικται τῆς οἰκονομίας ὁ λόγος· πλὴν εἰ καὶ φανερώτερον μανθάνειν βούλονται τίς ὁ ἐσταυρωμένος ὑπῆρχεν, ἀκουέτωσαν τοῦ τῆς οἰκουμένης διδασκάλου, τοῦτο Κορινθίοις ἐπιστέλλοντος· ἐγὼ γάρ, φησι, παρέλαβον ἀπὸ τοῦ κυρίου, καὶ παρέδωκα ὑμῖν ὅτι ὁ κύριος Ἰησοῦς τῇ νυκτὶ ᾗ παρεδίδοτο ἔλαβεν ἄρτον καὶ τὰ ἑξῆς· Θεωρεῖς τὸν ὑπὲρ ἡμῶν παθόντα, κύριον φανερῶς κηρυττόμενον; εἰ δὲ καὶ τὸ ὁ θεὸς αὐτὸν ἤγειρεν ἐκ νεκρῶν σκανδαλίζει τοὺς ἀνθρώπους, ὡς περὶ ἀνθρώπου λεγόμενον, αὐτοῦ πάλιν τοῦ ἀποστόλου καὶ ταύτην ἀκουέτωσαν ἀναιροῦντος τὴν ὑπόνοιαν· οἰκονομικῶς γὰρ τὰ τοιαῦτα ἐν ταῖς ἁγίαις εἴρηται γραφαῖς· ὅτι γὰρ κύριος ἦν ὁ τῇ σαρκὶ καὶ πάσχων καὶ ἀνιστάμενος, καὶ οὐχ' ὡς αὐτοὶ φασὶν ἄνθρωπος ἐνοίκησιν ἔχων τοῦ λόγου, ἀκουέτωσαν τοῦ Παύλου Ῥωμαίοις οὕτω παῤῥησίᾳ γράφοντος περὶ τοῦ Ἀβραάμ· οὐκ ἐγράφη δι' αὐτὸν μόνον, ἀλλὰ καὶ δι' ἡμᾶς οἷς μέλλει λογίζεσθαι τοῖς πιστεύουσιν ἐπὶ τὸν ἐγείραντα Ἰησοῦν τὸν κύριον ἡμῶν ἐκ νεκρῶν. Ἤκουσας τὸν ἐγειρόμενον, κύριον προσαγορευόμενον; μηκέτι σκανδαλίζου ἐπὶ τοῖς οἰκονομικῶς λεγομένοις. Καὶ τοῦτο δὲ τοῖς εἰρημένοις προσθεῖναι ἀναγκαῖον ὑπάρχει, ἵνα μή τις ὑπολάβῃ χάριτι καὶ αὐτὸν, καθάπερ ἡμᾶς, θεὸν καὶ κύριον καὶ υἱὸν προσαγορευόμενον· ἡμεῖς μὲν γὰρ εἰ καὶ καλούμεθα θεοὶ, ἀλλὰ πάλιν ἀκούομεν καὶ τῆς ἀσθενείας ἡμῶν τὸ μέτρον· ἐγὼ γὰρ εἶπα, φησὶ, θεοὶ ἐστὲ, καὶ υἱοὶ ὑψίστου· ἀλλ' εὐθέως ἐπάγει· ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε· καὶ δῆλον ὡς τὴν προσηγορίαν κατὰ χάριν ἐσχήκαμεν· αὐτὸς δὲ οὐχ' οὕτως, ἀλλὰ μετὰ τῆς θεοπρεποῦς δόξης, καὶ τὴν προσηγορίαν ἔχει· καλεῖται γὰρ οὐχ' ἁπλῶς θεὸς, ἀλλὰ θεὸς ἐπὶ πάντων, καὶ εὐλογητὸς εἰς τοὺς αἰῶνας· καλεῖται δὲ πάλιν καὶ κύριος οὐκ ὀνόματι μόνον ὥσπερ ἡμεῖς, ἀλλὰ κύριος τῆς δόξης, καὶ κύριος πάντων ὡς ὁ Πέτρος ἐδίδαξεν· λεγόμενος δὲ καὶ υἱὸς, οὐδὲ τοῦτο καθάπερ

ἡμεῖς ἁπλῶς υἱὸς, ἀλλὰ υἱὸς μόνος, καὶ ἀληθινὸς κατ' οὐσίαν, ὥς φησιν Ἰωάννης· καὶ ἐσμὲν ἐν τῷ ἀληθινῷ θεῷ, καὶ ἐν τῷ υἱῷ αὐτοῦ· οὗτός ἐστιν ὁ ἀληθινὸς θεὸς, καὶ ζωὴ αἰώνιος· φανερώτερον δὲ τοῦτον ὁ ἀπόστολος Παῦλος ἀπὸ τῶν πολλῶν διορίζει ὡς μόνον καὶ κατὰ ἀλήθειαν υἱόν· λέγει γὰρ οὕτως· καὶ γὰρ εἴπερ εἰσὶν λεγόμενοι θεοὶ, εἴτε ἐν οὐρανῷ, εἴτε ἐπὶ τῆς γῆς, ὥσπερ εἰσὶν θεοὶ πολλοὶ καὶ κύριοι πολλοὶ λεγόμενοι, πάλιν ἵνα νοῇς, ἀλλ' ἡμῖν εἷς θεὸς ὁ πατὴρ ἐξ οὗ τὰ πάντα, καὶ εἷς κύριος Ἰησοῦς Χριστὸς δι' οὗ τὰ πάντα· ὁρᾷς ὡς οὐ μετὰ πάντων αὐτὸς κύριος ἢ θεὸς ὀνομάζεται, ἀλλὰ μόνος τῷ πατρὶ συνδοξάζεται, ὡς ἐξ αὐτοῦ κατὰ φύσιν ὑπάρχων;

Καιρὸς δὲ λοιπὸν, καὶ τὴν ἑτέραν τοῦ ἀποστόλου μαρτυρίαν εἰς μέσον παραγαγεῖν, τοῦτον τὸν ἀληθεινὸν υἱὸν δεικνῦσαν ἄνθρωπον εἶναι τὸν ἐκ τῆς καλλιπαρθένου τεχθέντα· ἔχει δὲ οὕτως· ὅτε δὲ ἦλθεν τὸ πλήρωμα τοῦ χρόνου, ἐξαπέστειλεν ὁ θεὸς τὸν υἱὸν αὐτοῦ γενόμενον ἐκ γυναικός· μηδεὶς δὲ τοῦτο λέγειν ἐρυθριάτω· οὐδεμίαν γὰρ ὕβριν τοῦτο τῷ λόγῳ φέρει, φιλανθρωπίαν δὲ μᾶλλον, καὶ δόξαν διὰ τοῦτο ἄπειρον καὶ ἀμέτρητον. Ὅτι γὰρ οὐδὲν ἐκ τούτου ὁ λόγος ἐβλάπτετο, ἄψαυστος ὑπάρχων τὴν φύσιν καὶ ἀπαθὴς καὶ ἀπερίγραφος, ἀῤῥήτῳ δὲ φιλανθρωπίᾳ τὸ πρᾶγμα διήνυσεν, ἄκουε πάλιν αὐτοῦ τοῦ Παύλου τοῦτο διδάσκοντος· Ἰησοῦς Χριστὸς, φησὶν, χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας· τὸ γὰρ χθὲς λέγων, τὴν προαιώνιον αὐτοῦ σημαίνει δόξαν· τὸ δὲ σήμερον, ἐνεστῶτος καιροῦ ποιεῖται σημαντικόν· καὶ ὅτι οὐκ ἐτράπη, ἀλλ' ὅτι ὁ αὐτὸς ἔμεινεν καὶ ἐν σαρκὶ γενόμενος, καὶ ἔσται εἰς τοὺς αἰῶνας, ἐπήγαγεν ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας· ὅτε τοίνυν ταῦτα οὕτως ἔχει φιλανθρωπίᾳ μεγάλῃ τὴν εἰς ἡμᾶς ἀγάπην ἐνεδείξατο, καὶ κεκοινώνηκεν τῇ ἡμετέρᾳ φύσει, ἵνα ἀναστήσει αὐτὴν, καὶ τῆς ὑπὸ τὸν διάβολον ἀπαλλάξῃ δουλείας· μηδεὶς οὖν αἰσχυνέσθω παιδίον ἀκούων, καὶ βρέφος, καὶ ὅσα ἀνθρωπινότερον περὶ αὐτοῦ γέγραπται· ὑπέμεινεν γὰρ πάντα οὐ δι' ἑαυτὸν, ἀλλὰ δι' ἡμᾶς,

πανταχοῦ τὸ πρέπον φυλάττων τῇ ἀνθρωπείᾳ φύσει, ἵνα μὴ φαντασία ἡ οἰκονομία νομίζηται.

Οὐκοῦν κἂν ἀκούσῃς ὅτι παραλαμβάνει αὐτὸν ὁ μακάριος Ἰωσὴφ, καὶ φεύγει εἰς Αἴγυπτον, μὴ αἰσχύνην αὐτὸ νόμιζε, τὴν δὲ οἰκονομίαν ἐννόει· καὶ γὰρ οὐ τότε μόνον τοῦτο περὶ αὐτοῦ γέγραπται, ἀλλὰ καὶ ὅτε εἰς τὸν λ̄ ἐνιαυτὸν ἐλθὼν ἤρξατο κηρύττειν καὶ διδάσκειν, καὶ τῶν θαυμασίων ἐπετέλει τὴν δύναμιν, πάλιν τοιαῦτα περὶ αὐτοῦ γεγραμμένα εὑρίσκομεν· ἀκούσας γάρ, φησιν, ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν· καὶ ἕτερα δὲ τοιαῦτα ἐστὶν εὑρεῖν· ἀλλ' οὐ φόβῳ τοῦτο ἐποίει οὐδὲ τότε οὐδὲ νῦν, ἀλλὰ τὸν πρέποντα καιρὸν ἀναμένων τοῦ σωτηρίου πάθους· ἔδει γὰρ πρῶτον διαλάμψαι τὸ κήρυγμα, καὶ πάντα ἐπιτελέσαι ὅσα ἐβούλετο, καὶ τότε καὶ ἐπὶ τὸ σωτήριον πάθος ἐλθεῖν· ὃ δὴ καὶ γέγονεν. Ὅτι δὲ οὐ φόβῳ, καὶ δειλίᾳ τοῦτο ἐγίνετο, δῆλον ἀφ' ὧν πεποίηκεν ὅτε παραδοθῆναι οὐκ ἐβούλετο· καὶ γὰρ τῶν ἰουδαίων αὐτὸν τότε κατακρημνίσαι θελησάντων, αὐτὸς, φησὶν, διελθὼν διὰ μέσου αὐτῶν ἐπορεύετο· καὶ ἄλλοτε δὲ πιάσαι αὐτὸν θελόντων, οὐδεὶς, φησὶν, ἐπέβαλεν ἐπ' αὐτὸν τὰς χεῖρας, ὅτι οὔπω ἐλήλυθεν ἡ ὥρα αὐτοῦ· πλὴν ἀλλὰ καὶ ἀχείρωτος εἶναι δυνάμενος ὡς θεὸς, πάλιν διὰ τὸ ἀνθρώπινον ὑπανεχώρει, ἵνα φαίνηται κατὰ ἀλήθειαν γενόμενος ἄνθρωπος· εἰ δὲ λέγοι τίς, διὰ τί μὴ καὶ τότε ὅτε παιδίον ἦν, δι' ἑαυτοῦ τὴν ἐπιβουλὴν ἐξέκλεινεν, ἀλλ' ἀγγέλου χρηματίζοντος; μανθανέτω, ὡς καὶ τότε αὐτοῦ ἦν τὸ ἔργον· ἀλλ' ἵνα μὴ τῆς οἰκονομίας τοσοῦτον παραλύσῃ τὸν λόγον διὰ τὴν ἡλικίαν, διὰ τοῦτο δι' ἀγγέλου τὸ πρᾶγμα πεποίηκεν.

Ὅτι δὲ τὰ πρέποντα σώζειν βουλόμενος, πάντα οἰκονομικῶς ἐποίει, καὶ συνεχώρει τῇ σαρκὶ δεικνύειν τὰ αὐτῇ ἀκόλουθα, πληροφορήσει σε πάλιν αὐτός· ὅτε γὰρ ὁ μακάριος Βαπτιστὴς αὐτῷ ἔλεγεν, ἐγὼ χρείαν ἔχω ὑπὸ σοῦ βαπτισθῆναι, ἀπεκρίνατο πρὸς αὐτόν· ἄφες ἄρτι, οὕτω γὰρ πρέπον ἐστὶν πληρῶσαι πᾶσαν δικαιοσύνην· ὁρᾷς ὅτι καὶ τὸ βάπτισμα, καὶ πάντα τὰ πρέποντα

οἰκονομῶν κατεδέχετο; ὅταν τοίνυν ἀκούσῃς παιδίον, καὶ βρέφος καὶ ὅσα ἀνθρωπινώτερον περὶ αὐτοῦ γέγραπται, καθὼς προείρηται, μηδέποτε δίχα τῆς θεότητος αὐτὸν ὄντα ὑπολάμβανε· καὶ γὰρ καὶ ἄνθρωπος λεγόμενος δείκνυται θεὸς ὑπάρχων, ὡς πολλάκις ἀποδέδεικται. Ἐπιμαρτυρήσει δὲ πρὸς τοῦτο τοῖς εἰρημένοις καὶ ὁ μακάριος Βαπτιστὴς οὕτω λέγων περὶ αὐτοῦ· ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτος μου ἦν· κἀγὼ οὐκ ᾔδειν αὐτόν· πῶς οὖν ἄνδρα λέγων αὐτὸν, πρῶτον ἑαυτοῦ φησὶν αὐτὸν εἶναι; καὶ μὴν κατὰ τὸν οἰκονομίας χρόνον αὐτὸς πρῶτος ὁ μακάριος Βαπτιστὴς γεγεννημένος εὑρίσκεται· ὅτε γὰρ ὁ Γαβριὴλ τῇ θεοτόκῳ Μαρίᾳ τὴν ἄχραντον σύλληψιν εὐηγγελίζετο, ἕκτον ἔλεγεν ἤδη μῆνα τὴν Ἐλισάβετ ἔχειν συνειληφυῖαν τὸν Βαπτιστήν· πῶς οὖν ἄνδρα λέγων, πρῶτον φησὶν αὐτὸν ἑαυτοῦ ὄντα, εἰ μήτι θεὸν φανερῶς ἐνανθρωπήσαντα αὐτὸν ἠπίστατο; ὀπίσω μου γὰρ, φησιν, ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονεν, ὅτι πρῶτος μου ἦν· πῶς δὲ εἰ πρῶτος ἦν ἔμπροσθεν, ὕστερον ἐγένετο τῇ φανερώσει, καὶ τῇ γνώσει τῇ πρὸς τὸν λαόν; πρὶν μὲν γὰρ ἐπὶ τὸ κηρύττειν παρέλθῃ, οὐ σφόδρα ἦν τοῖς πολλοῖς γνώριμος· ὁ δὲ Βαπτιστὴς ἤδη καὶ ἐκήρυττεν, καὶ ἐβάπτιζεν πρὸ αὐτοῦ· ὅτε δὲ λοιπὸν καὶ ὁ κύριος ἤρξατο κηρύττειν, καὶ τὰ θαύματα ἐπιτελεῖν, ἔμπροσθεν τουτέστιν μᾶλλον τοῦ Βαπτιστοῦ τὰ πρωτεῖα ἔφερεν· καὶ ὅτι τοῦτο ἐστὶν τὸ ἔμπροσθεν, ἄκουε τί πρὸς τὸν Ἰωάννην οἱ αὐτοῦ μαθηταὶ ἔλεγον· ῥαββὶ, ὃς ἦν μετὰ σοῦ ἐν τῷ Ἰορδάνῃ, ᾧ σὺ μεμαρτύρηκας, ἴδε οὗτος βαπτίζει, καὶ πάντες ἔρχονται πρὸς αὐτόν· θεωρεῖς πῶς καὶ ἄνδρα, καὶ πρῶτον αὐτὸν ἐκήρυξεν;

Εἰ τῇ προλαβούσῃ κεκαρωμένοι μέθῃ, ἔτι καὶ νῦν ἀναβάλλονται τῇ ἀληθείᾳ πείθεσθαι οἱ πεπλανημένοι, φέρε κἀκείνην αὐτοῖς τὴν μαρτυρίαν εἰς μέσον ἀγάγωμεν, πρὸς ἣν ἀντειπεῖν οὔτε αὐτοὶ οἱ τὰ αὐτὰ αὐτοῖς ὑπειληφότες ἰουδαῖοι, καὶ νομίζοντες ἄνθρωπον εἶναι ψιλὸν, οὐκέτι ἠδυνήθησαν· ποῖα δὲ αὕτη ἐστίν; αὐτὸς ποτὲ τοὺς φαρισαίους ὁ κύριος ἠρώτησεν λέγων·

τί ὑμῖν δοκεῖ περὶ τοῦ Χριστοῦ, τίνος υἱός ἐστι; τῶν δὲ ἀποκριναμένων, Τοῦ Δαβὶδ, ἔφη πρὸς αὐτούς· πῶς οὖν Δαβὶδ ἐν πνεύματι καλεῖ αὐτὸν κύριον, λέγων, εἶπεν ὁ κύριος τῷ κυρίῳ μου, κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου; εἰ οὖν Δαβὶδ καλεῖ αὐτὸν κύριον, πῶς υἱὸς αὐτοῦ ἐστίν; Ὁρᾷς φανερῶς πῶς κύριον τοῦ Δαβὶδ ἑαυτὸν ἀπέδειξεν; πῶς οὖν ὁ ἐκ σπέρματος Δαβὶδ κύριος αὐτοῦ εἶναι ἠδύνατο, καὶ τοῦ πατρὸς σύνθρονος, εἰ μὴ ὅτι θεὸς ἦν τὰ ἀνθρώπινα περιβαλόμενος; υἱὸν γὰρ Δαβὶδ, καὶ κύριον τὸν ἐκ τῆς παρθένου τεχθέντα τουτέστιν ἑαυτὸν ἀπέδειξεν· ἀλλ᾽ ἐκεῖνοι μὲν καὶ ταύτην τὴν μαρτυρίαν ἀκούσαντες ἀνετράπησαν, καὶ τοῦ ἀντιλέγειν ἐπαύσαντο, ὡς ὁ εὐαγγελιστὴς ἱστορεῖ· οὐδεὶς γάρ, φησιν, ἠδύνατο ἀποκριθῆναι αὐτῷ λόγον, οὐδὲ ἐτόλμησεν ἀπ᾽ ἐκείνης τῆς ὥρας ἐπερωτῆσαι αὐτὸν οὐκέτι. Γένοιτο δὲ καὶ τούτους κἂν ὀψέ ποτε τῆς ἀνοίας ἀποστάντας ἐπιγνῶναι τῆς εὐσεβείας τὸ κήρυγμα· ἡμεῖς δὲ ταύτης ἐχόμεθα τῆς πίστεως διὰ παντὸς, ἀγαπητοί· ταύτην καὶ ἐν διανοίᾳ κατέχωμεν, καὶ τῇ γλώττῃ φανερῶς καὶ μετὰ παῤῥησίας κηρύττωμεν, πάντα διὰ ταύτην ὑπομένειν προθύμως ἀνεχόμενοι· αὕτη μὲν γὰρ προφητῶν ἐστὶν πρόῤῥησις, ἀποστόλων δὲ κήρυγμα, καὶ τῆς τῶν οὐρανῶν βασιλείας πρόξενος, αὕτη τῆς αἰωνίου ζωῆς ὁδηγὸς, αὕτη τῶν πατέρων ὁ πλοῦτος, αὕτη καὶ ἡμῶν ὁ ἀληθεινὸς θησαυρὸς, ὑπὲρ οὗ πάντα πωλεῖν καὶ προέσθαι δίκαιον· τοῦτον εἴτις ἡμῶν ἀποσυλῆσαι θελήσοι, ἀποστρεφώμεθα ὡς χριστομάχον, καὶ τῆς ἡμετέρας σωτηρίας ἐχθρὸν, πειθόμενοι τῷ παραγγέλλοντι ἀποστόλῳ, κἂν ἡμεῖς ἢ ἄγγελος ἐξ οὐρανοῦ εὐαγγελίσηται ὑμῖν παρ᾽ ὃ εὐηγγελισάμεθα ὑμῖν, ἀνάθεμα ἔστω.

ΤΕΛΟΣ.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΔΙΑΛΕΞΙΣ ΠΡΟΣ ΝΕΣΤΟΡΙΟΝ

ΟΤΙ ΘΕΟΤΟΚΟΣ Η ΑΓΙΑ ΠΑΡΘΕΝΟΣ ΟΥ ΧΡΙΣΤΟΤΟΚΟΣ.

Νεστόριος. Ὅταν ἡ θεία γραφὴ διαλέγηται γέννησιν Χριστοῦ ἐκ Μαρίας τῆς παρθένου, θάνατον οὐδαμοῦ τεθεῖσα φαίνεται Θεοῦ, ἀλλὰ Χριστοῦ ἢ Κυρίου ἢ Ἰησοῦ, ἐπειδὴ τὰ τρία ταῦτα τῶν δύο φύσεων σημαντικὰ, ποτὲ μὲν ταύτης, ποτὲ δὲ ἐκείνης· οἷον τὶ λέγω· ὅταν τὴν ἐκ παρθένου γέννησιν ἡμῖν τοῦ Χριστοῦ μηνύων ὁ ἀπόστολος λέγει, ἐξαπέστειλεν ὁ Θεὸς τὸν ἑαυτοῦ υἱὸν γενόμενον ἐκ γυναικὸς· οὐκ εἶπε δὲ ἐξαπέστειλε τὸν θεὸν λόγον· λαμβάνει δὲ τὸ ὄνομα τὸ μηνύων τὰς δύο γενέσεις, ἤτοι Θεὸς καὶ ἄνθρωπος· ἐπειδὴ διπλοῦς ἐστὶν ὁ Χριστὸς· υἱὸν γὰρ Θεοῦ ἐγέννησεν ἡ παρθένος, καθότι ἔφησεν, ὑμεῖς δὲ θεοὶ ἐστὲ καὶ υἱοὶ ὑψίστου πάντες· ὅθεν χριστοτόκον, κυριοτόκον, ἀνθρωποτόκον ἐμάθομεν ἀπὸ τῆς γραφῆς λέγειν, θεοτόκον δὲ οὐδαμῶς ἐδιδάχθημεν λέγειν τὴν ἁγίαν παρθένον. Κύριλλος. Ἡσαΐας βοᾷ ἐν πνεύματι λέγων, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσουσι τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον μεθ' ἡμῶν ὁ Θεὸς· θεὸς οὖν ὁ τεχθεὶς κἂν θέλῃς κἂν μὴ θέλῃς. Νεστ. Ὁ ἄγγελος τῷ Ἰωσὴφ εἶπεν, ἀναστὰς παράλαβε τὸ παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ φεῦγε εἰς Αἴγυπτον, καὶ ἴσθι ἐκεῖ ἕως ἂν εἴπω σοι· οὐκ εἶπε δὲ παράλαβε τὸν θεὸν καὶ τὴν μητέρα αὐτοῦ. Κύρ. Ἀλλ' ὁ ἀρχάγγελος Γαβριὴλ πρὸς τὴν παρθένον λέγει, πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί σε, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι· διὸ καὶ τὸ γεννώμενον ἐκ σοῦ ἅγιον, υἱὸς ὑψίστου κληθήσεται.

Νεστ. Ὁ ἀπόστολος ἔφη· ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν· ὅπερ ἐστὶ τὸ ἡμέτερον ἐνδυσάμενος σῶμα, ἔνθα προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ θεῷ καὶ ἀνθρώποις, ὡς κυ-

ριακὸς ἄνθρωπος. Κύρ. Πᾶν τὸ γενόμενον ἐκ τῆς σαρκὸς, σάρξ ἐστι· οὐκ ἀναιρεῖ δὲ τὸ τῆς γεννήσεως παράδοξον· ὡς γὰρ ὁ θεὸς τίκτει θεϊκῶς, οὕτω καὶ ἡ θεοπρεπὴς παρθένος ἔτεκεν ἐν σαρκὶ τὸν ἐκ θεοῦ θεὸν λόγον. Νεστ. Πᾶσα μήτηρ τὸ ὁμοούσιον αὐτῆς τίκτει· οὐκ ἔστιν οὖν αὐτοῦ μήτηρ εἰ μὴ αὐτὸς ὁμοούσιος αὐτῆς ὑπάρχει· πῶς γὰρ αὐτοῦ μήτηρ, τὸ ἀλλότριον τῆς οὐσίας αὐτῆς ὑπάρχον; Κύρ. Ἡμᾶς ἐκ παρθένου καὶ ἐκ πνεύματος ἁγίου ἕνα υἱὸν ἐδιδάχθημεν ὁμολογεῖν, ὁμοούσιον τῇ μητρὶ ὡς τῷ πατρὶ, καθὼς οἱ πατέρες εἰρήκασιν. Νεστ. Διαιρῶ τὰς φύσεις, ἑνῶ τὴν προσκύνησιν, ἐπειδὴ ἀχώριστος τοῦ φαινομένου Θεός· διὰ τοῦτο οὐ χωρίζω τὴν τιμήν. Κύρ. Ὁ διαιρῶν τὰς φύσεις, δύο υἱοὺς λέγει, μὴ πιστεύων τῇ γραφῇ λεγούσῃ ὅτι ὁ λόγος σὰρξ ἐγένετο. Νεστ. Παῦλος λέγει ἀρχιερέα καὶ ἀπόστολον τῆς ὁμολογίας ἡμῶν γενέσθαι Ἰησοῦν, πιστὸν ὄντα τῷ ποιήσαντι ἑαυτὸν, θυσίαν ἑαυτὸν προσέφερεν ὑπὲρ ἑαυτοῦ ὡς ὑπὲρ τοῦ λαοῦ· ὅθεν ἀρχιερεὺς καθίσταται τὰ πρὸς τὸν Θεόν. Κύρ. Παῦλος λέγει, Χριστὸς ἅπαξ προσενεχθεὶς εἰς τὸ πολλῶν ἀνενεγκεῖν ἁμαρτίας, ἐκ δευτέρου χωρὶς ἁμαρτίας ὀφθήσεται. Καὶ πάλιν· ἁμαρτίαν οὐκ ἐποίησεν, καὶ δόλος οὐχ ὑπῆρχεν ἐν τῷ στόματι αὐτοῦ· καὶ ἰδοὺ αὐτὸς ἑαυτὸν προσφέρει ὑπὲρ ἡμῶν· ἴδε οὖν οὐχ ὑπὲρ ἑαυτοῦ ἀνήνεγκεν αὐτὸν, ἀλλ' ὑπὲρ τοῦ λαοῦ.

Νεστ. Αὐτοῦ λέγοντος, ὁ τρώγων μου τὴν σάρκα, καὶ πίνων μου τὸ αἷμα, ζήσεται δι' ἐμοῦ, καθὼς ἐγὼ ζῶ διὰ τὸν ἀποστείλαντά με πατέρα· τίνα οὖν ἐσθίεις, αἱρετικέ; τὴν θεότητα, ἢ τὴν ἀνθρωπότητα; οὐκ εἶπε γὰρ ὁ Χριστὸς, ὁ τρώγων μου τὴν θεότητα, ἀλλὰ τὴν σάρκα. Κύρ. Ἐγὼ μὲν πίστει μεταλαμβάνω τὴν τοῦ ζωοποιοῦ λόγου ζωοποιοῦσαν σάρκα· ὅθεν ὁ σωτὴρ ἔφη, οἱ ἐσθίοντες ἐκ τούτου τοῦ ἄρτου, οὐ μὴ γεύσονται θανάτου εἰς τὸν αἰῶνα· οἱ δὲ ἀναξίως μεταλαμβάνοντες, διὰ τῆς ἀπειθείας κριθήσονται. Νεστ. Κύριος ἀπέσταλκέ με καὶ τὸ πνεῦμα αὐτοῦ· πνεῦμα κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με· καὶ διὰ τοῦτο, φησὶν, ἔχρισέ σε ὁ θεὸς ὁ θεός σου ἔλαιον ἀγαλλιάσεως παρὰ

τοὺς μετόχους σου· νόει οὖν τὸν χρισθέντα, ὁμολόγει τὸν χρίσαντα, καὶ προσκύνει τὸν ναὸν διὰ τὸν ἐν αὐτῷ κατοικοῦντα. Κύρ. Ἐγὼ ἐκ πνεύματος ἁγίου καὶ Μαρίας τῆς παρθένου ἕνα υἱὸν ἐκ δύο ὁμολογῶ· τὸν ἕνα εἰς δύο οὐ διαιρῶ. Νεστ. Πῶς ἀγνοεῖν λέγεις τὴν ὥραν, ἣν ὁ υἱὸς οὐκ οἶδεν, εἰ μὴ μόνος ὁ πατὴρ; ἢ πῶς εἰδὼς ἄρχεται; ἢ μὴ εἰδὼς, πῶς ἐκλήθη σοφία καὶ δύναμις θεοῦ τὸν ἀγνοίας μετέχοντα τόπον; Κύρ. Οὐκ ἀγνοεῖ ὁ υἱὸς τοῦ θεοῦ τὴν ὥραν τὰ πάντα εἰδὼς καὶ ἔχων ἐν ἑαυτῷ τὸν πατέρα, καθὼς αὐτὸς εἶπεν, οὐδεὶς γινώσκει τὸν πατέρα εἰ μὴ ὁ υἱὸς μόνος, τὴν φύσιν τοῦ πατρὸς γινώσκει τὴν πρὸ πάντων. Καὶ τὸ τέλος τοῦ αἰῶνος ἀγνοεῖ ὁ υἱὸς τοῦ θεοῦ; μὴ γένοιτο· ἀλλ' ἀγνοεῖ μὲν ὁ κατὰ χάριν υἱὸς, οὐ μέντοι γε ὁ κατὰ φύσιν· κατὰ χάριν ἡμεῖς ἐσμὲν ἀγνοοῦντες τὸ πᾶν, καὶ μηδὲν ἐπιστάμενοι περὶ τὰ τέλη τοῦ αἰῶνος.

Νεστ. Φυσικῶς πεινῶμεν καὶ διψῶμεν καὶ καθεύδομεν, οὐ γνώμῃ τοῦτο πάσχοντες, ἀλλ' ἀνάγκῃ φύσεως ὑποκείμενοι· τί οὖν εὑρεθήσεται θεὸς ἀναγκαστικοῖς νόμοις ἐξακολουθῶν; μὴ γένοιτο. Κύρ. Ἡμεῖς μὲν φυσικῶς πεινῶμεν καὶ διψῶμεν καὶ καθεύδομεν, οὐ γνώμῃ ἀλλ' ἀνάγκῃ φύσεως δουλεύοντες· αὐτὸς δὲ οὐκ ἀνάγκῃ ἀλλὰ γνώμῃ· καὶ γὰρ ἐκ πέντε ἄρτων πεντακισχιλίους ἐχόρτασεν, καὶ ἐξ ἑπτὰ πάλιν τετρακισχιλίους· αὐτὸς εἶπεν, οὐδεὶς λαμβάνει τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ἀλλ' ὅταν θέλω τίθημι αὐτὴν, καὶ ὅταν θέλω λαμβάνω αὐτήν· οὐδεὶς δὲ ἄνθρωπος δύναται τοῦτο ποιῆσαι, εἰ μὴ ὁ μόνος Χριστός. Νεστ. Λέγεις ὅτι ἔπαθεν ὁ υἱός· ἔπαθεν οὖν καὶ ὁ πατήρ· εἰ δὲ λέγεις ὅτι ὁ πατὴρ οὐκ ἔπαθεν, ἑτεροούσιον αὐτοῦ πεποίηκας τὸν υἱόν. Κύρ. Οὔτε τὸν πατέρα λέγω παθητὸν, οὔτε τὸν υἱὸν ἀπαθῆ· ἀλλ' ἀπαθὲς μὲν τὸ θεῖον, ὅτι καὶ ἀσώματον· παθητὸς δὲ ὁ κύριος διὰ τὴν σάρκα. Νεστ. Ἐγὼ οὐ λέγω τὸν λόγον σάρκα γενόμενον, οὐδὲ παθόντα· ἀπαθὲς γὰρ τὸ θεῖον, καὶ παθῶν ἀνώτερος ὁ ἀπαθής· παθητὴ δὲ ἡ σὰρξ καὶ θνητὴ ἀνθρωπίνη φύσις. Κύρ. Ὁμολογοῦμεν καὶ ἡμεῖς ἀπαθὲς τὸ θεῖον, διὰ

δὲ τῆς σαρκὸς κατεδέξατο πάθος· ὅθεν, Χριστοῦ παθόντος σαρκὶ ὑπὲρ ἡμῶν· τὸ δὲ Χριστὸς οὐκ ἀλλότριον θεοῦ ὄνομα· ὁ γὰρ ἀπόστολος Παῦλος φησὶν ἐξ ὧν ὁ Χριστὸς, ὁ ὢν ἐπὶ πάντων θεὸς εὐλογητὸς εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΕΚΘΕΣΙΣ ΠΙΣΤΕΩΣ ΣΥΝΤΟΜΟΣ.

Ποίας θρησκείας εἶ; Α. Χριστιανὸς τυγχάνω. Π. Τί ἐστι χριστιανός; Α. Ὁ κατὰ θεὸν ζῶν καὶ εὐσεβῶς καὶ χρηστῶς πολιτευόμενος. Π. Ἐπὶ τῆς θεολογίας πόσας φύσεις ὁμολογεῖς; Α. Μίαν. Π. Ποίαν ταύτην; Α. Θεότητα. Π. Τί ἐστι θεός; Α. Οὐσία ἀναίτιος αἰτία, ἤτοι παντοδύναμος, παναλκὴς, πάσης αἰτίας καὶ φύσεως ὑπερούσιος. Π. Κατὰ τί διαφέρει ὁ υἱὸς τοῦ πατρός; Α. Κατὰ τὰς ὑποστάσεις, καθ' ὅ ἐστιν υἱὸς γεννητός. Π. Κατὰ τί διαφέρει τὸ πνεῦμα τὸ ἅγιον πατρὸς καὶ υἱοῦ; Α. Κατὰ τὰς ὑποστάσεις, καθ' ὅ ἐστιν ἐκπορευτόν. Π. Πῶς πιστεύεις; Α. Πιστεύω εἰς ἕνα θεὸν πατέρα, καὶ εἰς ἕνα υἱὸν τὸν ἐξ αὐτοῦ γεννηθέντα θεὸν, καὶ εἰς ἓν πνεῦμα ἅγιον παρὰ πατρὸς ἐκπορευόμενον θεόν. Π. Λοιπὸν εἰς τρεῖς θεοὺς πιστεύεις; Α. Μὴ γένοιτο. Π. Ἀλλὰ τρεῖς φύσεις; Α. Οὐχί. Π. Ἰδοὺ τρεῖς θεοὺς ὡμολόγησας, καὶ πῶς λέγεις μὴ γένοιτο; Α. Ἐπὶ τῆς θεότητος τρεῖς ὑποστάσεις ὁμολογῶ καὶ φύσιν μίαν· ἐπὶ δὲ τοῦ Χριστοῦ δύο φύσεις καὶ μίαν ὑπόστασιν. Π. Τί ἐστιν οὐσία; Α. Πρᾶγμα αὐθύπαρκτον, μηδενὸς ἑτέρου δεόμενον πρὸς οἰκείαν σύστασιν. Π. Τί ἐστι φύσις; Α. Τὸ καθολικὸν πρᾶγμα καὶ περιεκτικὸν τῶν ὑπ' αὐτὴν ὑποστάσεων. Ἢ οὕτως· ἀληθὴς ὕπαρξις πράγματος, ὡς εἶναι οὐσίαν φύσιν μορφὴν, ἓν καὶ τὸ αὐτὸ πρᾶγμα.

Π. Πόσας ὑποστάσεις ἐπὶ τῆς θεότητος ὁμολογεῖς. Α. Τρεῖς, πατέρα, υἱὸν, καὶ ἅγιον πνεῦμα. Π. Τί ἐστιν ὑπόστασις; Α. Οὐ-

σία μετά τινων ἰδιωμάτων τῷ ἀριθμῷ τῶν ὁμοειδῶν διαφέρουσα, τουτέστι πρόσωπον ὁμοούσιον τοῦ χαρακτῆρος καὶ τῆς ὑποστάσεως τοῦ πατρός· πρόσωπα δὲ λέγομεν ἐπὶ θεοῦ ἀσώματα καὶ ἀσχημάτιστα. Π. Τί ἴδιον ἑκάστης τῶν τριῶν ὑποστάσεων, καὶ τί κοινόν; Α. Ἴδιον μὲν πατρὸς τὸ ἀγέννητον, υἱοῦ δὲ τὸ γεννητόν, πνεύματος δὲ ἁγίου τὸ ἐκπορευτόν, κοινὸν δὲ ἡ θεότης καὶ ἡ βασιλεία. Π. Ἐπὶ τῆς οἰκονομίας πόσας φύσεις ὁμολογεῖς; Α. Δύο, μίαν θεϊκὴν καὶ μίαν ἀνθρωπίνην. Π. Τί ἐστι θέλημα θεϊκόν; Α. Τὸ καθαίρειν τοὺς λεπροὺς, ὡς τὸ θέλω, καθαρίσθητι. Π. Τί ἐστιν ἐνέργεια θεϊκή; Α. Τὸ σωθῆναι πάντας ἀνθρώπους καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν. Π. Τί ἐστι θέλημα ἀνθρωπικόν; Α. Τὸ αἰτῆσαι ποιεῖν ὃ ἐπὶ τοῦ σταυροῦ γέγονε. Π. Τί ἐστιν ἐνέργεια ἀνθρωπίνη; Α. Τὸ ὁδοιπορῆσαι, τὸ κοπιάσαι, καὶ τὰ τοιαῦτα. Π. Πόσας ὑποστάσεις ἐπὶ τῆς οἰκονομίας ὁμολογεῖς; Α. Μίαν· ὡς εἶναι τὸν αὐτὸν ἕνα υἱὸν θεοῦ καὶ τῆς παρθένου. Π. Κατὰ τί κοινωνεῖ ὁ υἱὸς τῷ πατρὶ καὶ τῷ ἁγίῳ πνεύματι; Α. Κοινωνεῖ κατὰ τὴν φύσιν τῆς θεότητος αὐτοῦ, καθ᾽ ὅ ἐστι τέλειος θεός· κοινωνεῖ δὲ καὶ τοῖς ἀνθρώποις κατὰ τὴν φύσιν τῆς ἀνθρωπότητος αὐτοῦ, καθ᾽ ὅ ἐστι καὶ ἄνθρωπος τέλειος.

Π. Τί ἐστι θεός; Α. Εἰ θέλεις γνῶναι τί ἐστι θεός, καὶ πῶς προσκυνεῖται, ἄκουσον νουνεχῶς, καὶ γνώσῃ τὸ ἀληθές· πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος μία βουλὴ, μία σοφία, μία δύναμις· οὐχ ὁ μὲν πρὸ αἰώνων, ὁ δὲ μετὰ αἰῶνας, ἀλλ᾽ ἅμα πατὴρ υἱὸς καὶ πνεῦμα ἅγιον· υἱὸς ἐν τῷ πατρὶ, καὶ πνεῦμα ἐν υἱῷ· συνῆπται γὰρ ἡ φύσις· ὅθεν μία ἡ φύσις καὶ μία ἡ θεότης, διαιρουμένη μὲν εἰς τρία διὰ τὰς ὑποστάσεις, εἰς μονάδα δὲ καταντῶσα διὰ τὸν τῆς οὐσίας λόγον· διὰ τοῦτο καὶ πατέρα λέγοντες, καὶ υἱὸν καὶ πνεῦμα ἅγιον ὁμολογοῦντες, ἕνα θεὸν λέγομεν· τὸ γὰρ θεὸς ὄνομα, κοινόν ἐστι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος· τὸ δὲ πατὴρ καὶ υἱὸς καὶ ἅγιον πνεῦμα, οὐ κοινὰ ὀνόματα ἀλλ᾽ ἰδίας ἑκάστης ὑποστά-

σεως· ὁ γὰρ πατὴρ οὐ λέγεται υἱὸς, καὶ ὁ υἱὸς οὐ καλεῖται πατὴρ, καὶ τὸ πνεῦμα τὸ ἅγιον οὔτε πατὴρ οὔτε υἱὸς προσαγορεύεται· θεὸς ἀεὶ ἡ τριὰς ὀνομάζεται. Λέγοντες οὖν τρεῖς ὑποστάσεις ἤτοι πρόσωπα τρία, οὐ λέγομεν τρεῖς οὐσίας, ἢ τρεῖς φύσεις, ἢ θεοὺς τρεῖς, ἀλλ' ἕνα θεὸν, μίαν οὐσίαν ἤτοι φύσιν ὁμολογοῦμεν, ἵνα μὴ ἀρειανίσωμεν· λέγοντες δὲ πάλιν μίαν οὐσίαν ἤτοι φύσιν, οὐ λέγομεν μίαν ὑπόστασιν, ἵνα μὴ σαβελλίσωμεν, ἀλλὰ τρεῖς ὑποστάσεις, τρία πρόσωπα ἐν μιᾷ θεότητι, οὐσίαν μίαν καὶ φύσιν πρεσβεύομεν. Π. Τί ἐστι θεὸς; Α. Θεός ἐστι ἀθεώρητος οὐσία, ἀκατάληπτος νοῦς, ἀμήχανον κάλλος, ἀόρατον μέγεθος, ἀκατάληπτος φύσις, ἀπερινόητος δόξα. Π. Τί ἐστιν υἱὸς; Α. Υἱός ἐστιν ἄρρητον γέννημα, ἀνυπέρβλητος νοῦς, ἀπαράλλακτος οὐσία, χαρακτὴρ ἐνυπόστατος. Π. Τί ἐστι πνεῦμα; Α. Πνεῦμά ἐστὶ νοερὸν καὶ ἁπλοῦν καὶ λεπτὸν σαφὲς καὶ τρανὸν ἀπήμαντον ἀμόλυντον μονογενὲς καὶ παντεπίσκοπον· εἰκὼν τοῦ πατρὸς ὁ ἥλιος, ἀκτὶς ἡλίου ὁ υἱὸς, θέρμη τῆς ἀκτῖνος τὸ πανάγιον πνεῦμα· καὶ οὕτως ἥλιος ὁ πατὴρ, ἀκτὶς ὁ υἱὸς, αἴγλη πυραυγὴς τὸ πανάγιον πνεῦμα· καὶ ὥσπερ ὁ ἄρτος ὃν ἐσθίομεν ἐκ τριῶν ὑποστάσεων συνέστηκε, σίτου, ὕδατος, καὶ πυρὸς, γνωριζόμενος, τοιούτῳ δεῖ τρόπῳ ἐννοεῖν καὶ περὶ τῆς ἑνιαίας τρισυποστάτου θεότητος, φύσις καὶ οὐσία καὶ μορφὴ, ὁμοῦ ἡ αὐτή ἐστιν ὑπόστασις, καὶ πρόσωπον ταυτόν ἐστι· καὶ ἡ μὲν οὐσία ἤτοι φύσις τὸ κοινὸν χαρακτηρίζει, ἡ δὲ ὑπόστασις ἤτοι πρόσωπον τὸ ἴδιον ἑκάστης σημαίνει· ὡς ἐπὶ ἀνθρώπων φέρε εἴπωμεν, Πέτρος καὶ Παῦλος μιᾶς καὶ τῆς αὐτῆς εἰσὶ φύσεως, ὑποστάσεων δὲ διαφόρων· καὶ κοινωνοῦσι μὲν ἀλλήλοις κατὰ τὴν φύσιν, διαιροῦνται δὲ κατὰ τὰς ὑποστάσεις ἤτοι πρόσωπα.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΕΠΙΣΤΟΛΑΙ ΤΙΝΕΣ.

I. ῬΟΥΦΩι ΕΠΙΣΚΟΠΩι ΘΕΣΣΑΛΟΝΙΚΗΣ (1).

Ἀκόλουθον ἅπαντα τὰ ταῖς ἐκκλησίαις χρήσιμα, καὶ τὰ ἀνακύπτοντα καθ' ἡμέραν, ὡς ἔπος εἰπεῖν, ἀνακοινοῦσθαι τῇ σῇ ὁσιότητι, ἵνα μὴ θρῦλοι τινὲς ἕτερα ἀνθ' ἑτέρων λέγοντες ἐκταράσσουσι τοὺς αὐτόθι θεοσεβεστάτους ἐπισκόπους· γεγράφασι τοίνυν οἱ ἐκ τῆς ἀνατολῆς τὴν κοινωνίαν ἀπαιτοῦντες, καὶ πίστιν ἑαυτῶν ἐναργῆ καθιστῶντες, καὶ λέγοντες ἐναργῶς καὶ θεοτόκον τὴν ἁγίαν παρθένον, καὶ ὅτι εἷς ἐστὶν υἱὸς τοῦ θεοῦ ὁ κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς, καὶ πρὸ παντὸς αἰῶνος ἐκ πατρὸς ἀποῤῥήτως γεγεννημένος, καὶ ἐν τελευταίοις ὁ αὐτὸς ἄνθρωπος ἐκ γυναικὸς, καὶ ὅτι ἓν αὐτοῦ πρόσωπον, καὶ οὐ δύο· εἶτα ὑποκατιόντες, ἕτερον προστιθέασιν ὅ τινας ἐτάραξεν τῶν οὐ σφόδρα συνιέναι δυναμένων, καὶ ἐνομίσθησαν οὐ πάντη τῶν Νεστορίου καθαρεύειν φλυαριῶν· ταῦτα μοι γέγραφεν ὁ κύριός μου ὁ θεοσεβέστατος ἐπίσκοπος Ἀκάκιος τῆς Μελιτηνῆς· καὶ ἦν ἀναγκαῖον ἐπιστολὴν συνθῆναι μακροτέραν, καὶ διερμηνεῦσαι τὰς φωνὰς τῶν ἐκ τῆς ἀνατολῆς, ἐφ' αἷς ἐσκανδαλίσθησαν τινὲς· πέπομφα τοίνυν τὸ ἶσον τῆς ἐπιστολῆς, ἵνα κἂν εἴ τινες τῶν αὐτόθι τὰ ἶσα παθόντες εὑρεθεῖεν, ἔχοιεν ἐγκύπτοντες εἰδέναι τὸ ἀληθὲς· οἶδα δὲ καὶ τοῦτο ποιήσας περιττῶς, ἀρκούσης ἅπαξ τῆς σῆς τελειότητος πρὸς τὸ πάντα δύνασθαι διατρανοῦν, καὶ τοῖς ἀμαθείᾳ κεκρατημένοις τὸ τῆς ἐνούσης αὐτῆς συνέσεως ὄφελος ἐνεργάσασθαι.

(1) Rufi thessalonicensis, et ad eum litterarum quarumdam, mentionem facit Cyrillus in epistola ad Iohannem antiochenum opp. T. V. part. II. pag. 43.

Η. ΤΩι ΑΥΤΩι.

Διὰ τὴν τῶν ἐκκλησιῶν εἰρήνην, καὶ τὸ μὴ ἀλλήλων αὐτὰς ἀπονοσφίζεσθαι πρὸς διχονοίας, αἱ συγκαλαβάσεις οὐκ ἀκερδεῖς· εἰκὸς γάρ τινας οὐ δεχθένλας εἰς κοινωνίαν, ἐξ ἀκηδείας ἐφ' ἕτερόν τι καὶ ἀβουλήτως ἐλθεῖν· ἢ γὰρ αἱρέσεις τίκτονται καὶ ἀκολουθοῦσι σχίσμαλα, ἢ καὶ θόρυβοι διηνεκεῖς, οὐκ ἀνεχομένων τοῦ ἐπιτιμᾶσθαι μακρὰ τῶν εἰωθότων· τοῦτο συνεωρακὼς ἠσμένισα σφόδρα ἐπιδραμόντων τῶν ἐκ τῆς ἀνατολῆς, καὶ ζητησάντων τὴν κοινωνίαν, καὶ μάλισλα ὅτι καὶ γέγονεν εὐαφόρμως, τοῦ εὐσεβεστάτου καὶ θεοφιλεστάτου βασιλέως γράψαντος περὶ τούτου· γέγονε γὰρ ἀναγκαία φροντὶς τῇ γαληνότητι αὐτοῦ τῶν ἐκκλησιῶν ἡ ὁμοψυχία. Τοῦτο σκοπήσασα καὶ ἡ σὴ τελειότης, τὰ ἑαυτῇ πρᾶξαι πρέποντα βουλήθητι, καὶ ὅσα πρὸς λυσιτελείαν ὁρᾷ τῶν αὐτόθι τοῦ θεοῦ ἐκκλησιῶν. Γέγραφα τοίνυν περὶ τοῦ πράγμαλος, ἐννοήσας τὸ συμφέρον· καὶ τῆς σῆς ἐσὶὶ τελειότηλος τὸ ἐπιθεῖναι πέρας· ἄμεινον γὰρ μετανοοῦντας δέχεσθαι, ἢ γοῦν ἀπαναισχυντήσαντας προσλεθῆναι τῷ μέρει τῶν τὰ Νεσλορίου φρονεῖν ἑλομένων· ἐπειδὴ δὲ πάνσοφός τε καὶ παντέλειος ὢν, ἐκέλευσας πεμφθῆναι τινὰ τῶν ἐμῶν πονηματίων, καὶ ψελλιζούσης ἀνέχῃ γλώτλης, ἐθάρσησα πέμψαι τέως βιβλία τέσσαρα, πολὺν ἔχονλα λόγον περὶ τῆς τοῦ σωτῆρος ἡμῶν οἰκονομίας ἐκ τῶν παλαιῶν γραμμάτων· προσλέθηκα δὲ καὶ ὃ γέγραφα καλὰ τῶν Νεσλορίου δυσφημιῶν· ἀποχρόνλως δὲ τῆς σῆς τελειότηλος ἐχούσης πρὸς τὸ καὶ ἡμᾶς δύνασθαι, καὶ τοὺς αὐτόθι ἅπαντας ὠφελεῖν, ὡς ἐξ ἀγάπης εἰς τοῦτο παρῆλθον· ἀναγνοὺς δὲ καὶ ἐπανορθώσας εἴ τι παρώπται, καὶ τοῖς ἄλλοις τῶν ἀδελφῶν ἐμφανίσαι καταξίωσον· ἔχει δὲ τὰ βιβλία οὕτως· περὶ τῶν εἰς τὴν γένεσιν βλίον ἓν· περὶ τῆς ἐν πνεύματι καὶ ἀληθείᾳ προσκυνήσεως βι-

βλία δύο· πρὸς τὰ Θεοδωρήτου καὶ Ἀνδρέου (1) εἰς τὰ κεφάλαια· περὶ τῆς σαρκώσεως βιβλίον ἓν κατὰ Νεστορίου δυσφημιῶν.

III. ΑΜΦΙΛΟΧΙΩι ΕΠΙΣΚΟΠΩι ΣΙΔΗΣ. (2)

Οἶδα μὲν ὅτι πανσύνετος οὖσα ἡ σὴ θεοσέβεια, οὐδὲν ἄμεινον ἡγήσεται φιλίας καὶ ἀγάπης τῆς πρὸς ἀδελφούς· εὐτεχνὲς δὲ πρᾶγμα ἡγήσεται τὴν ἐφ' ἅπασι τοῖς δρωμένοις ἀρίστην οἰκονομίαν· διὸ δὲ γράφω τὰ φίλα τῇ σῇ θεοσεβείᾳ, καὶ ὅσα δρᾶν οἶδεν ἀπαστῶν· ὥστε δῆλον ὅτι μὴ μεγάλαις ἄγαν ἀκριβολογίαις κεχρῆσθαι κατὰ τῶν ἐθελόντων μεταγινώσκειν, καὶ καταλιπεῖν τὴν τῶν Μεσσαλιστῶν, ἤτοι Εὐχητῶν, ἀνοσιωτάτην αἵρεσιν, προστρέχειν δὲ τοῖς ὀρθοῖς τῆς ἐκκλησίας δόγμασιν· ἀρκεῖ γὰρ τοῖς εἰς τοῦτο βαδίζουσιν ὁμολογεῖν ὅτι ἀναθεματίζω τὴν τῶν Μεσσαλιτῶν, ἤγουν Εὐχιτῶν, αἵρεσιν· ὁ δὲ σφόδρα λεπτῶς καὶ μετὰ τοῦτο προτείνων αὐτοῖς, ἔσθ' ὅτε καὶ ἐκ βιβλίων ἀναγνώσματα, θορυβεῖ τὸν οὐκ ἔχοντα πολλὴν ἀκρίβειαν εἰς νοῦν· ἰδιῶται γάρ εἰσιν οἱ πολλοὶ, καὶ οὐχ' οὕτω νοεῖν δύνανται, ὥστε πάντως καταγινώσκειν τῶν καταγνώσεως ἀξίων· ἀρκεῖ τοίνυν ἀναθεματίζειν αὐτοὺς τὴν αἵρεσιν, καὶ μὴ προτεινέσθωσαν πάντως ὀνόματα, ἵνα μὴ τὸ τινῶν ἐξ ἰδιωτίας φιλόνεικον ἀποστήσῃ πολλάκις αὐτοὺς καὶ τοῦ βούλεσθαι δοξάζειν ὀρθῶς· καὶ ταῦτα γράφω οὔ τισι χαριζόμενος, ἀλλ' εἰδὼς ὅτι καλὴ μᾶλλον ἐν τούτοις ἡ οἰκονομία· τὸ γὰρ ἀκριβὲς ὡς ἐπίπαν θορυβεῖ πολλοὺς καὶ τῶν νουνεχεστάτων.

IV. ΜΑΞΙΜΩι ΔΙΑΚΟΝΩι ΑΝΤΙΟΧΕΙΑΣ.

Κεκόμισται πάλιν τὰ παρὰ τῆς σῆς θεοσεβείας γράμματα διὰ τοῦ ἀγαπητοῦ μονάζοντος Παύλου, καὶ ἥσθην ἄγαν ἐντυχὼν αὐ-

(1) Confer Anastasii presbyteri eclogas a me editas p. 8.

(2) Amphilochii sidensis fragmentum recitatur a Leontio hierosolymitano, quem ego nuper edidi, p. 136.

τοῖς, τόν τε ζῆλον ἐπέγνων ἀκμάζοντα· καὶ νῦν ὃν ὑπὲρ τῆς ὀρθῆς πίστεως ἐποιήσω μὲν ἀεὶ, ἔχεις εἰς τὸ μέλλον· γέγραπται γὰρ ὅτι ὁ ἐναρξάμενος ἐν ὑμῖν ἔργον ἀγαθὸν, ἐπιτελεσάτω· καταλαβόντος δὲ τοῦ εὐλαβεστάτου πρεσβυτέρου Πρεσεντίνου, καὶ διδάξαντος τινὰ, γέγραφα ἅπερ ἦν εἰκὸς πρὸς τὸν εὐλαβέστατον καὶ θεοσεβέστατον ἐπίσκοπον Ἰωάννην, καὶ πρὸς οὓς ἠθέλησεν ἀρχιμανδρίτας· καὶ τὴν τῶν γραφέντων δύναμιν ἡ σὴ εὐλάβεια γνώσεται, αὐταῖς ἐντυχοῦσα ταῖς ἐπιστολαῖς· πλὴν ἐκεῖνο φημὶ· τῆς μὲν γὰρ σῆς εὐλαβείας ἔργον ἦν τὸ μηδένα τῶν ἐχόντων ὑποσκάζουσαν τὴν διάνοιαν, ἢ εἰς κοινωνίαν δέχεσθαι, ἢ εἰς ἀγάπην τὴν ἐν Χριστῷ· ἡ δὲ τῶν ἐνεστηκότων πραγμάτων φύσις, καὶ οὐχ' ἑκόντας ἡμᾶς ἐσθ' ὅτε παραβιάζεται καὶ τῶν παρὰ σκοπὸν καὶ γνώμην ἀνέχεσθαι· συνορῶ γὰρ ὅτι καὶ αὐτὸς ὁ εὐλαβέστατος ἐπίσκοπος Ἰωάννης οἰκονομίας δεῖται πολλῆς, ἵνα τοὺς ἀφηνιῶντας κερδάνῃ· αἱ γὰρ σκληραὶ πολλάκις ἀντιτυπίαι πολλοὺς ἐκβάλλουσιν ἀπαναισχυντήσαντας· καὶ ἄμεινον κολακίαις μᾶλλον ὑποφέρειν τοὺς ἀνθεστηκότας, ἢ γοῦν τῇ τῆς ἀκριβείας ἰσχνότητι λυπεῖν· ὥσπερ γὰρ εἰ τὸ σῶμα αὐτοῖς ἀῤῥωστήσειεν, χεῖρά που πάντως ὀρέξαι χρὴ, οὕτω πεπονθυίας τῆς ψυχῆς δεῖ τινὸς οἰκονομίας, οἷα φάρμακον προσφερομένης αὐτοῖς· κατὰ βραχὺ γὰρ ἥξουσι καὶ αὐτοὶ πρὸς εἰλικρινῆ διάθεσιν· καὶ αὗται εἰσὶν αἱ ἀντιλήψεις καὶ κυβερνήσεις, ἃς ὁ μακάριος ὠνόμασε Παῦλος. Μὴ παραιτέσθω τοίνυν ἡ σὴ θεοσέβεια, κἂν μὴ λίαν ἀκριβῶς διοικούμενα τὰ πράγματα βλέπῃ κατὰ τὸν ἐνεστηκότα μάλιστα καιρόν· οὐ γὰρ θέλομεν τεμεῖν ἀλλὰ συνάψαι, τοῖς τοῦ σωτῆρος ἑπόμενοι λόγοις· οὐ γὰρ χρείαν ἔχουσιν, φησὶν, οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες· εἰ καὶ ὅτι, καθ' ἃ πάλιν αὐτὸς φησὶν, οὐκ ἦλθον καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΕΚΛΟΓΑΙ (1).

Ἐκ τοῦ πέμπτου βιβλίου τῶν ὑπομνημάτων τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον.

Μετὰ δὲ τοῦ χαρίσασθαι τὴν ἐκ φιλαγάθου θελήματος ῥοπὴν, καὶ τὴν διὰ χειρὸς ἁφὴν προσεπιδίδωσιν, ἵνα μάθωμεν ἡμεῖς ὡς ἐνεργὸν εἰς κάθαρσιν ἐστὶ τὸ ἅγιον αὐτοῦ σῶμα, καὶ τῇ θείᾳ βουλήσει συμπαραλαμβάνεται χρειωδέστατα πρὸς τὸν εἰς ἡμᾶς ἁγιασμόν· κάθαρσις γὰρ ἡ ἐν πνεύματι τελεῖται δι᾽ ἁγιασμοῦ, ὃν τὸ τοῦ σωτῆρος ἡμῶν ἐντίθησι σῶμα, τοῦ ἐνοικοῦντος αὐτῷ λόγου φοροῦν τὴν ἐνέργειαν. (1)

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

Τεθεράπευκεν γὰρ ὡς θεὸς, τῆς ἰδίας χειρὸς τὴν ἁφὴν τῇ κειμένῃ δωρούμενος· καὶ διὰ ποίαν αἰτίαν; ἵνα τῇ ἰδίᾳ φύσει, τῇ τῆς θεότητος λέγω, ἰσοσθενοῦν ἀποδείξῃ τὸ ἴδιον σῶμα, κατά γε τὴν ἐν τοῖς νοσοῦσιν ἐνέργειαν· σῶμα γὰρ ἐστὶν οὐκ ἀνθρώπου τινὸς, ἀλλ᾽ αὐτοῦ τὰ πάντα κατορθοῦντος καὶ ἰσχύοντος λόγου.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

Λόγῳ τοιγαροῦν ἐνεργὴς ὁρᾶται πάλιν· καὶ ποτὲ μὲν οὗτος, ποτὲ δὲ ἐκεῖνος θαυματουργεῖ· δεικνὺς ὅτι καὶ αὐτὸ τὸ σῶμα τὸ ληφθὲν παρ᾽ αὐτοῦ, δι᾽ ἡμᾶς ἐνεργόν ἐστι καθ᾽ ἑαυτὸ, διὰ τὸν ἐνοικοῦντα λόγον καὶ ὁ λόγος δὲ οὐδὲν ἧττον, καὶ εἰ μὴ σωματικῶς ἐπάφωτο τινῶν.

(1) Has ego eclogas sumpsi ex codice vaticano, in quo extant χρήσεις Monophysitarum, qui sibi patrum quoque orthodoxorum suffragia vi vindicabant. Alia quaedam Cyrilli ex commentariis in Matthaeum fragmenta edidi cum Anastasio presbytero de incarnatione Coll. vat. T. VII. p. 125. 126.

(2) Confer Nicetae catenam in Matth. ed. Corder. T. II. p. 295.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

Ἦλθεν μὲν γὰρ Ἰωάννης μήτε ἐσθίων μήτε πίνων, καθ' ἃ γέγραπται· ἦλθεν δὲ ὁ υἱὸς τοῦ ἀνθρώπου ἐσθίων καὶ πίνων· καὶ τὴν τούτου αἰτίαν, ὡς ἂν οἷόν τε, ὧδί εἰπεῖν πειράσομαι· γέγονε μὲν γὰρ ἄνθρωπος ὁ τοῦ θεοῦ λόγος, καὶ πάντα πεφόρηκε τὰ ἡμέτερα, δίχα μόνης ἁμαρτίας· ἀλλ' ἔν γε ταῖς κατὰ σῶμα κινήσεσι φυσικαῖς, τῆς ἐξ ἔθους ἡμῖν χαλιναγωγίας, πόνου τε φημὶ καὶ νηστείας, πῶς ἂν ἐδεήθη, καίτοι κατὰ φύσιν ὑπάρχων θεὸς, ὁ καὶ κρείττων ἁμαρτίας, καὶ τῇ παρ' ἑαυτοῦ χάριτι καὶ τὰ ἐν ἡμῖν καταραΐζων πάθη, νεκρὰν δὲ καὶ ἄπρακτον ἀποφαίνων καὶ τὴν ἐν ἡμῖν τοῦ σώματος ὄρεξιν, εἰ καὶ διακέοιτό πως εἰς ἐκτόπους ἡδονάς; κατεσκήνωσεν γὰρ ἐν ἡμῖν ὁ τοῦ θεοῦ λόγος, καὶ ἰδίαν ἐποιήσατο σάρκα τὴν ἀνθρωπίνην, ἵν' ἐπειδήπερ ἀτίθασός τις αὐτὴν ὁ τῆς ἁμαρτίας κατεληΐζετο νόμος (τετύραννηκε γὰρ ἐν τοῖς μέλεσι τῆς σαρκὸς ἀντιστρατευόμενος τῷ νόμῳ τοῦ νοὸς, καὶ αἰχμαλωτίζων εἰς τὰ οἰκεῖα) καταργήσει τοῦτον δι' ἑαυτοῦ· καὶ ἐν πρώτῃ νεκρώσας τῇ ἰδίᾳ σαρκὶ, παραπέμψῃ λοιπὸν τῆς ἐπὶ τούτῳ χάριτος τὴν μετάδοσιν εἰς ἡμᾶς, ἅτε δὴ καὶ ὄντας ὁμογενεῖς κατά γε τὴν τῆς σαρκὸς φύσιν· ἀπαρχὴ γὰρ ἡμῶν Χριστὸς, δεύτερος Ἀδὰμ χρηματίσας μετ' ἐκεῖνον τὸν ἐν ἀρχαῖς· καὶ πρῶτος ἄνθρωπος πέφηνεν ἐπὶ γῆς, χοϊκὸς μὲν οὐκέτι, θεῖος δὲ μᾶλλον καὶ ἐπουράνιος, ἁμαρτίαν οὐκ εἰδώς· δι' ὃ καὶ μόνος ἐν νεκροῖς ἐλεύθερος. Ἀναμορφουμένης τοιγαροῦν ἐν πρώτῳ Χριστῷ πρὸς τὸν ἐν ἀρχαῖς ἁγιασμὸν τῆς ἡμετέρας φύσεως, ἐνδοιαζέτω μηδεὶς ὡς εἰς ἅπαν ἤδη τὸ ἀνθρώπινον ἐξετείνετο γένος ἡ τῆς ἀναμορφώσεως χάρις· οὐ γὰρ ἑαυτὸν ἀνεμόρφου θεὸς ὢν ὁ λόγος, καὶ τῆς τοῦ πατρὸς ἰδιότητος ἀπαραποίητος χαρακτὴρ, ἀλλ' ἡμεῖς ἦμεν σὺν αὐτῷ πρὸς θεὸν ἀναμορφούμενοι διὰ τοῦ καὶ ὑπὲρ φύσιν ἁγιασμοῦ, νεκρουμένου λοιπὸν ἐν τοῖς μέλεσιν ἡμῶν τοῦ νόμου τῆς ἁμαρτίας. Ἦν οὖν σφόδρα τῶν ἀτόπων μὴ οὐχὶ μᾶλλον τῇ τῆς θεότητος ἐνεργείᾳ τὰ ἐν τῷ σώματι τοῦ Χριστοῦ καταναρκοῦσθαι πάθη, συναθλεῖν δὲ ὥσπερ αὐ-

τῷ τὴν νηστείαν, εἰς τὸ καθάπερ ἐκ βίας καὶ ἀνάγκης τὴν σάρκα καταξηραίνειν· ποῦ γὰρ ἡ τοῦ ἐνοικοῦντος Θεοῦ λόγου δύναμις, εἰ καθάπερ ἐφ' ἡμῶν πόνοις καὶ νηστείᾳ τὰ πάθη κατηυνάζετο;

Τοῦ αὐτοῦ ἐκ τοῦ ζ̄ βιβλίου τῶν ὑπομνημάτων τῶν εἰς τὸ κατὰ Ματθαῖον εὐαγγέλιον, εἰς τὸ ἐξομολογοῦμαί σοι πάτερ.

Οὐκοῦν ᾗ μὲν ἐστὶ θεὸς, τὸ ἐπὶ τοῖς ἔθνεσιν εἰργάζετο κρίμα, συγκατανεύοντος τε καὶ ἐνεργοῦντος δι' αὐτοῦ τὰ πάντα τοῦ πατρὸς· ᾗ δὲ νοεῖται καθ' ἡμᾶς διὰ τὴν τῆς σαρκὸς φύσιν, ἤτοι τελείως τὸ τῆς ἀνθρωπότητος σχῆμα, τὰς ὑπερικετείας ἀνατ'-θησι τῷ πατρί.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ εἰς τὸ ῥητὸν, εἰ δὲ ἐν πνεύματι Θεοῦ ἐγὼ ἐκβάλλω τὰ δαιμόνια.

Σκανδαλιστέον οὐδαμῶς εἰ καὶ διαπύθοιτό τις τοῦ πάντων ἡμῶν σωτῆρος Χριστοῦ διαβεβαιουμένου καὶ φάσκοντος ἐν πνεύματι Θεοῦ ἐκβάλλειν τὰ δαιμόνια· μὴ γὰρ δέ σε θορυβείτω λέγων ὁ υἱὸς ἐνεργεῖν ἐν πνεύματι· καταλογίζου δὲ μᾶλλον τίς ἂν ἄρα καὶ ἐν τίσιν τὸ τηνικάδε τὰ τοιαῦτα φησίν· ἦν μὲν γὰρ ἐν σαρκὶ δι' ἡμᾶς· αὐτὸ δὴ τοῦτο καθ' ἡμᾶς ἄνθρωπος οὐκ ἐν δόξῃ τῇ θεότητι καὶ αὐτῷ πρεπούσῃ φυσικῶς, ἀλλὰ τῆς ἡμετέρας φύσεως τὸ σμικροπρεπὲς καὶ τὸ ταπεινὸν τοῦτο περικείμενος σχῆμα· διὰ τοῦτο φησὶν ἐνεργεῖν ἐν πνεύματι θεοῦ· καὶ γάρ τοι κατὰ τὸ ἀληθὲς οὐ σαρκὸς ἐνεργείᾳ φυσικῇ καὶ ἀνθρωπότητος δυνάμει παραλύει τὸν σατανᾶν καὶ κατισχύει τοῦ βεελζεβούλ· ἐπεὶ διδασκέτω τίς, εἰ βούλεται, τί τὸ κωλύον τοῖς ἐθέλουσι προκεῖσθαι τὴν ἐξουσίαν τὴν κατὰ πνευμάτων ἀκαθάρτων, εἰ τοῦτο ἐνεργεῖ σαρκὸς φύσις; πάντες γὰρ ἐσμὲν ἐν σαρκὶ, καὶ εἷς κατὰ πάντων ὁ τῆς ἀνθρωπότητος λόγος· ἀλλ' οὔτε σαρκὸς ἔργον ἰδικῶς, οὔτε μὴν ἀνθρωπότητος τὸ κατισχύσαι πνευμάτων, ἐπεὶ μὴ πάντες ἰσχύουσιν, ἐνεργείας δὲ μᾶλλον ὁρᾶται κατόρθωμα τῆς διὰ πνεύματος.

Οὐκοῦν ἀληθὲς εἴρηκεν ὁ σωτὴρ καθ' ὃ νοεῖται σὰρξ καὶ ἄνθρωπος, ὅτι πνεύματος ἔργον ἦν, καὶ οὐχὶ διὰ τῆς σαρκὸς, ἤγουν ἀνθρωπότητος, ἡ κατὰ τῶν δαιμόνων ἰσχύς· ἅγιον μὲν γὰρ ὁμολογουμένως ἐστὶν τὸ σῶμα τοῦ Χριστοῦ, καὶ πᾶσαν ἔχον κατὰ πάσης νόσου τὴν δύναμιν· ἀλλ' ἦν τε καὶ ἐστὶν ἅγιον, οὐκ ἐπείπερ ἁπλῶς νοεῖται σὰρξ, ἐν μόνοις οὖσα τοῖς ἰδίοις λόγοις, ἀλλ' ὅτι ναὸς ἐστὶ τοῦ κατοικοῦντος ἐν αὐτῇ θεοῦ λόγου, ἁγιάζοντός τε τὴν ἰδίαν σάρκα διὰ τοῦ ἁγίου πνεύματος· ἔφη γοῦν αὐτὸς πρὸς τὸν ἐν τοῖς οὐρανοῖς πατέρα τὰς διαλέξεις ποιούμενος ὑπὲρ αὐτῶν, ἐγὼ ἁγιάζω ἐμαυτὸν, ἵνα ὦσι καὶ αὐτοὶ ἡγιασμένοι εἰς ἕν.

Καὶ μεθ' ἕτερα.

Ἀνθ' ὅτου δὴ τὴν μετὰ σαρκὸς οἰκονομίαν οὐ καταπεπλῆχθαι φησὶν, διὰ τί μὴ θαυμάζετε τὸν καθ' ἡμᾶς γενόμενον ἄνθρωπον, ἵνα ὅπερ ἔχει φυσικῶς ὡς θεὸς, λαβὼν δι' ἡμᾶς ὡς ἄνθρωπος, φημὶ δὲ τὸ πνεῦμα, παραπέμψῃ καὶ εἰς ἡμᾶς τὴν χάριν; ζημιωθεῖσα γὰρ ἡ φύσις τὴν τοῦ πνεύματος χάριν διὰ τὴν ἐν ἀρχῇ παράβασιν, πεπλούτηκε πάλιν αὐτὴν διὰ πρώτου τε καὶ ἐν πρώτῳ Χριστῷ· πέφηνε γὰρ οὐράνιος ἄνθρωπος καὶ δεύτερος Ἀδὰμ ἀνακτίζων ἑαυτῷ τὴν φύσιν εἰς καινότητα ζωῆς· ἔχοντος τοίνυν ἀεὶ τὸ ἴδιον πνεῦμα Χριστοῦ, καθ' ὃ νοεῖται καὶ ἔστι θεὸς κατὰ φύσιν, λεγομένου τε λαβεῖν ᾗ γέγονεν ἄνθρωπος, ἔφθασεν ἐφ' ἡμᾶς ἡ βασιλεία τοῦ θεοῦ· τὸ γὰρ μετόχους γενέσθαι τοῦ πνεύματος, οὐδὲν ἕτερον ἂν εἴη λοιπὸν, ἢ μετασχεῖν βασιλείας θεοῦ.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ

εἰς τὸ ῥητὸν, καὶ ὃς ἂν εἴπῃ λόγον κατὰ τοῦ υἱοῦ τοῦ ἀνθρώπου ἀφεθήσεται αὐτῷ.

Ἄῤῥητον ἔχων τὴν ἐκ θεοῦ πατρὸς γέννησιν, διά τε τοῦτο ὑπάρχων θεὸς κατὰ φύσιν ὁμογενὴς, τὴν ἀνθρώπειαν ὑπέδυ μορφὴν, καὶ γεγένηται καθ' ἡμᾶς ἐκ γυναικὸς, καὶ γέγονεν ὑπὸ νόμον, καίτοι τοῦ νόμου κύριος ὢν, καὶ κεχρημάτηκεν δοῦλος ὁ πάντα ὑπὸ πόδας ἔχων καὶ ταῖς ἀνωτάτω δυνάμεσιν ἐποχούμενος·

καὶ καθίκετο μὲν ἐν τῷδε τῷ κόσμῳ, δύναμιν μὲν ἔχων τὴν αὐτῷ πρεπωδεστάτην, κατακρύπτων δ' οὖν ὅμως τῆς ἰδίας φύσεως ἀξίωμα ταῖς ἀνθρωπίναις σμικροπρεπείαις, καὶ τῇ τῆς σαρκὸς περιβολῇ· κενώσεως γὰρ ἦν καιρὸς, καὶ τῆς τοῦ δούλου μορφῆς τὸ καθ' ἡμᾶς ἐδεῖτο μυστήριον, ἵνα καὶ τὸν τίμιον ὑπὲρ ἡμῶν ὑπομείνῃ σταυρὸν, καὶ τῷ θανάτῳ τῆς ἰδίας σαρκὸς τῶν ἁπάντων κτείνῃ θάνατον· ἀναγκαία τοιγαροῦν ἡ κένωσις, καὶ ὁ τῆς ἀδοξίας καιρὸς τῆς διὰ τὴν σάρκα· καὶ ἦν διὰ τοῦτο παρὰ πολλοῖς ἀσυμφανὲς τὸ μυστήριον.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ.

Εἶτα πῶς ἔτι νοηθείη ἂν καλά γε τὸν εἰκότα λογισμὸν φυσικὸν ἐν ἡμῖν ἢ τὸ ἀγαθὸν ἢ τὸ φαῦλον, καὶ οὐχὶ δὴ μᾶλλον ἐθελούσιον καὶ ἐν προαιρέσει τῇ ἑκάστου κείμενον; εἴπερ οὔσης μιᾶς τῆς ἀνθρώπου φύσεως, καὶ ἕνα κατὰ παντὸς τοῦ γένους ἐχούσης ὅρον, οἱ μὲν εἰσὶν ἀγαθοὶ τὴν ἕξιν, πονηροὶ δὲ ἕτεροι· διαφέρειν δὲ οὐδαμῶς ἡ ἀνθρώπου φύσις ὡς πρὸς ἰδίους ὁρᾶται λόγους, οὐδὲ μαχομένην ἔχει τοῖς ἑαυτῆς ἰδιώμασι τὴν κατασκευήν.

Τοῦ αὐτοῦ.

Πόλιν δὲ οἰκείαν ὁμολογεῖ τὴν Ναζαρὲτ, ὡς πεποσωμένος διὰ τὸ σῶμα, καὶ διὰ μόνην τὴν σάρκα μετρούμενος, καί τοι κατὰ φύσιν ἀμέτρητος ὢν ὡς Θεός· ἐπειδὴ γὰρ ἐν ταυτῷ Θεός τε ἐστὶ καὶ ἄνθρωπος, ποτὲ μὲν ᾗ λόγος ἐστὶν ἐκ πατρὸς ἀναλάμψας, ὅλος ὡς τοῦτο ὑπάρχων νοεῖται μετὰ σαρκός· ποτὲ δὲ πάλιν ᾗ γέγονεν σὰρξ, καίτοι κατὰ φύσιν ὑπάρχων λόγος, καὶ ἐν ταυτότητι τῆς ἰδίας φύσεως ἐρηρισμένος, νοεῖται πάλιν ὡς ὅλος ὢν ἄνθρωπος· ὡς καὶ τοὺς τῆς Θεότητος αὐτῷ κατὰ φύσιν ἐναρμόζεσθαι λόγους, ὡς ἀσάρκῳ μετὰ σαρκός· καὶ τοὺς τῆς ἀνθρωπότητος, ὡς οὐκ ἔχοντι κατὰ φύσιν τὰ τῆς θεότητος ἴδια, καὶ εἰ Θεὸς κατὰ φύσιν ἐστίν· οὐκοῦν ᾗ μὲν νοεῖται Θεὸς, οὐδένα τῆς καταπαύσεως ἔχει τόπον· ἀνωτέρω γὰρ τόπου καὶ περιγραφῆς καὶ μέτρου καὶ σχήματος· ᾗ δὲ νοεῖται καθ' ἡμᾶς ἀνθρω-

πος, δῆλον ὅτι μετὰ σαρκὸς καὶ ἐν τόποις ἐστὶ καὶ πόλιν ἰδίαν ἐσχηκέναι λέγεται.

Τοῦ αὐτοῦ ἐκ τοῦ αὐτοῦ
ἐν τῷ περὶ τῆς θυγατρὸς τοῦ ἱερέως.

Τίς γὰρ ἂν οὐκ ἐξέστη θάνατον βλέπων πλεονεκτούμενον, καὶ οὐχὶ θεῖάν τινα καὶ ἄῤῥητον δόξαν τὴν πλεονεκτοῦσαν ὁρῶν, ὅσον ἧκεν εἰπεῖν εἰς αἴσθησιν τὴν ὀμμάτων; ἀλλ' ἕνα τῶν καθ' ἡμᾶς ἄνθρωπον δηλαδὴ κατ' οὐδὲν τὸ παράπαν ἡμῶν διαφέροντα, κατά γε τὸ ὁρώμενον, εἰς τὴν τῆς σαρκὸς ἀδοξίαν τὲ καὶ φύσιν.

Ἐκ τῆς ἑρμηνείας τῆς πρὸς Ἑβραίους
ἐπιστολῆς. (1)

Καὶ οὐ δεῖ φαμὲν ἀνάχυσιν ὥσπέρ τινα συμβῆναι περὶ τὰς φύσεις, ὡς μεταστῆναι μὲν τὴν τοῦ λόγου φύσιν εἰς τὴν τοῦ ἀνθρώπου τυχὸν· ἀλλ' οὐδὲ αὐτὴν ἀνθρωπίνην εἰς τὴν αὐτοῦ· νοουμένης δὲ μᾶλλον καὶ ὑπαρχούσης ἑκατέρας ἐν τῷ τῆς ἰδίας φύσεως ὅρῳ, πεπράχθαι φαμὲν τὴν ἕνωσιν, ἐνοικήσαντος τοῦ λόγου σωματικῶς τῷ ἐκ παρθένου ναῷ.

Ἐκ τῆς αὐτῆς ἑρμηνείας.

Ὅρα τοίνυν καὶ ἐν δυσὶ τοῖς χειμάροις τὸν ἕνα Χριστὸν, τουτέστι θεὸν ἐνανθρωπηκότα, καὶ ἀποθνήσκοντα μὲν σαρκικῶς ὑπὲρ ἁμαρτίας, ἵνα τῷ ῥαντισμῷ τοῦ ἰδίου αἵματος ὅλην ἁγιάσῃ τὴν ἐκκλησίαν, μεμενηκότα δὲ πάλιν ἀπαθῆ θεϊκῶς.

Ἐκ τοῦ β τόμου τῆς αὐτῆς ἑρμηνείας.

Ἀποδιϊστάντες γὰρ ἀλλήλων τὰς δύο φύσεις καὶ ἀναμέρος ἡμῖν ἑκατέραν ἀσυναφῆ θατέρᾳ δεικνύντες, ἐν μόνοις προσώποις φασὶ γενέσθαι τὴν ἕνωσιν· καὶ ὡς ἔν γε ψιλῇ συναινέσει καὶ ταυτοβουλίᾳ καὶ θελημάτων ῥοπαῖς, κατ' ἐκεῖνό που τὸ ἐν ταῖς

(1) Sequentia fragmenta ex codice vaticano pervetere sumpsi, in quo est opus graecum Leontii contra Nestorium et Eutychetem, latine tantummodo in antiquis Canisii lectionibus editum, sed graece postea a me divulgandum. Placet interim his graecis fragmentis Cyrilli opera augere.

πράξεσι τῶν ἁγίων ἀποστόλων γεγραμμένον, τοῦ δὲ πλήθους τῶν πιστευσάντων ἦν ἡ καρδία καὶ ἡ ψυχὴ μία.

Ἐκ τοῦ προσφωνητικοῦ πρὸς Ἀλεξανδρεῖς.

Εἰ γὰρ κέκρανται αἱ δύο φύσεις εἰς μίξιν μίαν, ἑτεροούσιαι τυγχάνουσαι, οὐδ᾽ ὁποτέρα σώζεται, ἀλλ᾽ ἀμφότεραι συγχυθεῖσαι ἠφανίσθησαν.

Ἐκ τοῦ αὐτοῦ λόγου.

Καὶ λέλυται ὁ ναὸς ἐν τῷ καιρῷ τῆς τριημέρου ταφῆς βουλομένου αὐτοῦ, καὶ πάλιν ἀνέστησεν αὐτὸν· καὶ ἡνώθη αὐτῷ ἀῤῥήτῳ καὶ ἀφράστῳ λόγῳ, οὐ κεκραμένος ἐν αὐτῷ ἢ ἀποσεσαρκωμένος, ἀλλὰ ὑποσώζων ἐν ἑαυτῷ τῶν ἑτεροουσίων ἀσύγχυτον τὴν ἰδιότητα.

Ἐκ τῶν κατὰ κεφάλαιον σχολίων.

Θεὸς γὰρ ὢν κατὰ φύσιν ὁ λόγος, ἐν ὁμοιώματι ἀνθρώπων γεγόνεν, εὑρέθη δὲ καὶ σχήματι ὡς ἄνθρωπος, ἵνα ὑπάρχων εἷς, ἐν ταυτῷ νοῆται τὸ συναμφότερον, οὔτε ψιλὸς ἄνθρωπος, οὔτε μὴν ἀνθρωπότητος δίχα καὶ σαρκὸς λόγος. (1)

(1) Confer decimum ex capitulis a me editis de incarnatione.

ΤΟΥ ΑΥΤΟΥ ΑΓΙΟΥ ΚΥΡΙΛΛΟΥ

ΟΜΙΛΙΑ

Λεχθεῖσα ἐν τοῖς τοῦ ἁγίου βαπτιστοῦ Ἰωάννου, φαρμουθὶ κη ἰνδικτίωνος ια περὶ τῆς γενομένης ὁμονοίας τῶν ἐκκλησιῶν, καὶ κατὰ τοῦ δυσφήμου Νεστορίου. (1)

Τοὺς εὐσεβείᾳ συντεθραμμένους καὶ τῶν θείων δογμάτων ἀκριβῆ καὶ τετορνευμένην ἔχοντας γνῶσιν, γῆν θελητὴν ὁ προφήτης ὀνομάζει λέγων· καὶ ἔσεσθε ὑμεῖς γῆ θελητὴ, λέγει κύριος παντοκράτωρ· καὶ μακαριοῦσιν ὑμᾶς πάντα τὰ ἔθνη· γῆν θελητὴν εἶναι φησὶν τὴν γονιμωτάτην καὶ εὔκαρπον, καὶ καρπῶν ἡμερῶν μητέρα καὶ τροφόν· τοιαύτη δὲ πᾶσα ἐστὶ θεοφιλὴς καὶ ὁσία ψυχὴ, γεωργὸν ὥσπερ τινα καὶ σπορέα παντὸς ἀγαθοῦ τὸν τῶν ὅλων σωτῆρα λαβοῦσα Χριστὸν, ὃς καὶ ἱερῶν ἡμῖν δογμάτων ἐναστράπτει τὴν γνῶσιν· ἀλλ' ὁ πάντων ἐχθρὸς, τοῦτ' ἔστιν ὁ σατανᾶς, ἐγείρει κατὰ καιροὺς τοὺς ἐπισπείροντας τῷ σίτῳ τὰ πονηρὰ ζιζάνια· πλὴν κἂν ἀνθήσωσιν, ἀποκείρονται· ἔστι δὲ οὕτω καθαρὸν τὸ χωρίον. Ἐκβέβληται τοίνυν ἀπὸ πάσης ἐκκλησίας ὁ ἀσεβὴς Νεστόριος τὸ πικρὸν ἀληθῶς τοῦ διαβόλου ζιζάνιον, καὶ ὁμογνωμονοῦσι λοιπὸν οἱ κατὰ πᾶσαν ὄντες τὴν οἰκουμένην θεοσεβέστατοι ἐπίσκοποι τὴν ὀρθὴν καὶ μίαν ὁμολογήσαντες πίστιν· συνήφθησαν τοίνυν ταῖς παρ' ἡμῖν ἐκκλησίαις, μᾶλλον δὲ κατὰ πᾶσαν τὴν οἰκουμένην, καὶ αἱ οὖσαι κατὰ τὴν ἀνατολήν· ὡμολόγησαν γὰρ οἱ θεοσεβέστατοι τῶν ἐκεῖσε ἐπίσκοποι τὴν ὀρθὴν καὶ ἀβέβηλον πίστιν· οἷα δὲ γέγραφε πρός με ὁ θεοσεβέστατος καὶ εὐλαβέστατος ἐπίσκοπος τῆς Ἀντιοχείας Ἰωάννης, οἷα δὲ κἀγὼ πρὸς αὐτὸν ἀντέγραψα, ἀκούσεσθε σὺν θεῷ.


(1) Sequens Cyrilli fragmentum extat latine tantummodo in concilii ephesini editionibus, puta in illa Mansii T. V. col. 289. Nunc demum graecus textus ex duobus antiquis vaticanae bibliothecae codicibus prodit.

IMPRIMATUR


Fr. Dom. Buttaoni S. P. A. Magister.

Antonius Piatti Arch. Trapez. Vicesgerens.


Codicis pag. 57.




Codicis pag. 58.




Codicis pag. 59.



Codicis pag. 60.



Codicis pag. 61.



Codicis pag. 62.

